

GREEK · BOY · AT · HOME

W. H. D. ROUSE



C 85

'Αθῆναι· ἀκρόπολις μετὰ Παρθενῶνος· ἐκ δεξιᾶς μὲν Ἄρειος πάγος· ἐξ ἀριστερᾶς δὲ νεώς, τὸ Θήσειον λεγόμενον. τὸ δ' ὄρος Ὑμηττός.

A GREEK BOY AT HOME

A STORY WRITTEN IN GREEK

BY

W. H. D. ROUSE, LITT.D.

HEADMASTER OF THE PERSE GRAMMAR SCHOOL, CAMBRIDGE

[Vol. 1]

ILLUSTRATED

BLACKIE & SON, LTD., 50 OLD BAILEY, LONDON, E.C.

GLASGOW DUBLIN AND BOMBAY

1909

PREFACE

THIS book is meant to be used with my *First Greek Course*, instead of the reading exercises given there: that is, the grammar is taken in the same order. The earlier chapters of the grammar are provided with a number of exercises, in which the same vocabulary is generally repeated: it is hoped that in this way the subject matter may be revised without the need of reading the same exercise over and over again *ad nauseam*. Thus the first reading-exercise (II.) has four sections, No. III. has nine, No. IV. has thirteen. It is just at first, when everything is strange, that the pupil wants to move slowly. If he reads all these exercises, with regular repetition of the paradigms, he ought to know the first part of the grammar well; if he learns it before, the master may pass on, or if he does not, no harm is done even then, since there is something new in each section.

The Roman numbers correspond to the sections in the *First Greek Course*; the exercises with Arabic numbers assume that all the grammar has been worked through.

I should be grateful to any one who will tell me exactly what effect this plan has on his boys, and at what stage exactly each boy (or group of boys) proves to have mastered the grammar. Similar information about the vocabulary will also be welcome; and in particular, I wish to learn how far revision of a given piece is needed—how much, for instance, is learnt of the numerals after just reading aloud the exercises pp. 17–19.

One or two dialogues are given early in the book (II. β, III. ε, IV. β): these are meant to show how the matter of any exercise may be driven home by word of mouth. In these

the illusion of the narrator is not kept, and the same may be said of IV. θ–κ; it would have been more in order to place these in the Appendix, but they are probably more conveniently placed where they are.

I have been so fortunate as to find a number of Thrasymachus's school verses on a set of wax tablets; these are given in Appendix 3–18. In places the text was corrupt, but it has been restored by the help of Prof. J. P. Postgate and Prof. R. S. Conway, whom I thank most sincerely for their help, here and elsewhere in the book. The verses are very creditable for a schoolboy.

The material of the book has been gathered from all manner of sources, wherever anything could be found to illustrate Greek life or to interest the reader. Some of the authors drawn on are Homer, Hesiod, Herodotus, Aeschylus, Plato, Demosthenes, Aristotle, Menander, Aesop, Dion Chrysostom, Aelian, and the novelists. I have used these with the greatest freedom. The syntax and accidence is intended to conform to the normal Attic, but the vocabulary has generally been left alone. Those therefore who think that only Attic words should be uttered by the tender lips of youth will not be satisfied. For my part, I do not think a tinge of Homer or Hesiod will contaminate the taste of anybody. Moreover, the young have a marvellous power of forgetting, and the master may use his discretion as to what he will let them forget.

My duty is done when I have warned him that the vocabulary is very mixed.

The vocabulary is so arranged that the words earliest met with are explained in English, but as soon as a few Greek words are learnt these are used to explain the others. In case of need, the master can always help: but there should be no need. If this idea is new to any reader, he may be surprised to see how little English is needed to teach the Greek language. I may remind him that the vocabulary is a record of what has actually been done, not what might possibly be done: the whole of the book represents the results of careful trials.

Hints for using the Book

I. Reading.—The book is meant to be read aloud and explained in class. The boys should have only the text before them, without the vocabulary, for the first reading. Progress is slow at first, until a few Greek words are quite familiar. It should be read first by the master, sentence by sentence, every new word being explained by him, in English at first, in simple Greek as soon as the necessary Greek words are known. The boys may then read it aloud in chorus, or alone in turn. No boy must on any account pass anything he does not know without asking for an explanation, and he must not be satisfied until the difficulty is cleared up. This is a cardinal principle of language teaching, and without it nothing can be done. The master must somehow satisfy himself that the class does understand, partly by asking questions, partly by causing them to read the piece aloud after he has done so. Finally, the work is to be written out in English for next day's work, or prepared for oral translation. All questions should be asked and answered in Greek, and English used only if all else fails.

II. Reproduction.—This is as essential as the reading. It may be done in three ways :—

(1) Questions on the text in Greek, answered in Greek (*a*) with books, (*b*) without books, both orally and in writing.

(2) The same story retold in Greek, with the aid of an English translation (*a*) orally, (*b*) in writing. The English is to be used as a guide to help the memory, and the story as told need not represent it exactly. An excellent exercise.

(3) The story re-written in Greek without this help. This exercise is found to be too hard before the third term. Similar subjects may later be set as themes.

Whenever the master gives an explanation, the class should write it in their notebooks. They must do so by ear, no word being spelt, and they must insert the accents, as the master pronounces them. New words may be first written on the board. The master must satisfy himself that the words

in the note-books are being properly written and accented, either by walking round and looking, or by calling up boys in turn to show their books. At first this will be slow, but before very long he will find that most of the boys write and accent correctly. No trouble is felt in learning the accents as soon as they are realized as part of the word, the chief rules being explained where necessary.

For revision, the vocabulary may be put into the boys' hands. This is not meant for their use at first, since the writing is essential in order to fix the words and forms in the memory. Meanwhile, it will serve to help the master until he has had practice enough to give his explanations on the spur of the moment.

In his questions and the boys' answers there is room for new idioms when the master wishes to introduce them. Thus the simple *ἆρ' οἶσθα* or *μανθάνεις* or *συνίῃς* may be replaced by *τί δοκεῖ σοι, ἆρα φανερόν, ἆρα δῆλον, τίνι οὐ φανερόν*, and so forth: the answers, not only *μανθάνω* and so forth, but *οὐδενὶ ᾧτινι οὐ φανερόν, οὐκ ἔσθ' ὅπως οὐκ οἶδα*, etc. etc. It is surprising how many idioms may become perfectly familiar by this incessant drill.

Similarly, as soon as the numerals have been read, the class must each day be ready to tell the page and line of the book in Greek, and references must be given in the same way: thus *ὅρα σελίδα τριακοστὴν καὶ στίχον τέταρτον.*

Sometimes the master may tell one of the episodes aloud, the class having no book before them, and fix it by means of questions: they may then be told to write it out.

With a little ingenuity, the lessons may be made to include anything the master wants to teach.

Finally, I may caution the teacher that it is not enough for him to speak. His pupils must also speak, and the more they speak the better.

These suggestions and cautions are all drawn from the experience of my friend Mr. W. H. S. Jones and myself.

CONTENTS

	PAGE
I. PRELIMINARY	1
II. ὅστις εἰμὶ ἐγώ	1
ii. α. τὸ χωρίον	2
ii. β. διάλογος	3
ii. γ. τὸ χωρίον	4
III. κῆπος	4
iii. α. ἄγρια δένδρα	5
iii. β. ζῷα	6
iii. γ. ᾠά	7
iii. δ. ἄγρια ὀρνίθια	7
iii. ε. διάλογος	9
iii. ζ. παιδιά	9
iii. η. καλιαί	10
iii. θ. κώμη	10
IV. οἰκία	11
iv. α. κῆπος	12
iv. β. διάλογος	13
iv. γ. αἱ Ἀθῆναι	14
iv. δ. ἀριθμός	14
iv. ε. τὰ ἐν οἰκίᾳ	15
iv. ζ. διδάσκαλος	15
iv. η. τὰ τοῦ διδασκαλείου	16
iv. θ. ἀριθμός	17
iv. ι. πολλαπλασίωσις	18
iv. κ. μερισμός	19
iv. λ κόπος	20
iv. μ. τὰ αὐτά	21
V. τὰ μετέωρα	21
v. α. ἀστραπή	22
VI. φιλόσοφος	23
vi. α. βασκανία	23

	PAGE
VII. δῆμοι	24
vii. α. Ἀχαρναί	24
VIII. ὁ μῶρος	25
viii. α. ὁ μῶρος μάλ' αὖθις	25
viii. β. πόλεμος	26
viii. γ. μάχη	27
viii. δ. ῥαψῳδός	27
viii. ε. πλοῦτος καὶ πενία	28
viii. ζ. ψιττακός	28
IX. ἄγροικοι	29
ix. α. γεωργός	30
ix. β. πίθηκος	31
ix. γ. θάλαττα	32
X. δεκάτη	33
XI. νόμισμα	34
XII. ἀκρόπολις	35
XIII. τὰ τείχη	36
xiii. α. ὁ μῶρος	36
XIV. πλοῖα	37
xiv. α. μέρη νεώς	38
xiv. β. πλήρωμα	38
xiv. γ. κόχλος	39
xiv. δ. τοῦ σώματος τὰ μέρη	39
XV. πλοῦς	41
xv. α. δεῖπνον	41
XVI.–XVII. ἡ Σαλαμῖνι μάχη	42
XVIII. διάλογος	49
XIX. δικαστὴς βουκόλος	50

		PAGE
XX.	ἀτυχίαι	52
XXI.	ὧραι	54
22.	χειμών	55
23.	ἄροτος	56
24.	ἔαρ	57
25.	σῦριγξ	60
26.	θέρος	60
27.	τέττιξ	61
28.	ἀπάτη	61
29.	σφὴξ καὶ μελίττα	63
30.	χόλος	64
31.	φάττα	65
32.	τρύγητος	66
33.	ἀτυχία	68
34.	Ἀσκληπιός	69
35.	τὰ τῆς μάνδρας	71
36.	μύλη	79
37.	χειμών	80
38.	βάτραχοι	81
39.	παιδιά	83
40.	Ἑρμῆς	85
41.	κρίσις	92
42.	Παναθήναια	96
43.	συμπόσιον	100
44.	κακὸς γείτων	106
45.	κυνηγέτης	107

APPENDIX

		PAGE
1.	τραπεζίτης	121
2.	Πασίων, Ζηνόθεμις, Ἡγέστρατος	122
	Φιλών, Ἡγέστρατος, Ζηνόθεμις	122
	ἔξω	123
3.	ὄρνιθες	123
4.	πέρδιξ καὶ χελώνη	124
5.	μύρμηξ	124
6.	μέλιτται	125
7.	ἀράχνη	126
8.	θήρα Ἰνδική	127
9.	γρύψ	128
10.	κύων	128
11.	ψιττακός	129
12.	πλοῦς	129
13.	τὰ τῆς ἡμέρας	130
14.	ἄροτος	131
15.	σπορεὺς καὶ θεριστής	131
16.	ἀλοητός	132
17.	ἐκκλησία	132
18.	στρατός	133

VOCABULARY

LIST OF ILLUSTRATIONS

		PAGE
Ἀθῆναι	*Frontispiece*	
ὁπλίτης, γεωργός	*Facing*	27
νόμισμα	,,	34
τείχη ἀκροπόλεως	,,	36
ναῦς, ἄροτρον	,,	38
ἰδοὺ χελιδών	,,	57
Πὰν ἔχων σύριγγα	,,	60
ἀγωνιζόμενοι, κυβιστητήρ	,,	96

I

Preliminary

Read pp. 1–4 of Rouse's *First Greek Course*, and practise the alphabet as on p. 4.

The grammar for ch. II is found on pp. 4–6, with the pronouns p. 13 and *εἰμί* p. 10.

For the other exercises see the corresponding number in the *First Greek Course.* Those with Arabic numerals assume a knowledge of the whole grammar.

II

ΟΣΤΙΣ ΕΙΜΙ ΕΓΩ

ἐγὼ μέν εἰμι παιδίον Ἑλληνικόν, οἰκῶ δ' ἐν ἀγροῖς. ἐνταῦθα γὰρ ἐν τοῖς ἀγροῖς γεωργός τις Θράσυλλός ἐστιν, ὃς γεωργεῖ καὶ ἔχει χωρίον. ἆρ' ἐρωτᾷς, τίς μὲν ἐγώ, τίς δ' ὁ Θράσυλλος; λέγω δή. τέκνον γάρ εἰμι ἐγὼ τοῦ Θρασύλλου. καὶ μὴν ἄλλα γε ἔχει τέκνα ὁ Θράσυλλος· καὶ γὰρ ἐγώ εἰμι τέκνον αὐτοῦ, καὶ ἔχω ἀδελφόν τε καὶ ἀδελφήν· ὀνομάζουσι δ' ἐμὲ μὲν Θρασύμαχον, τὸν δ' ἀδελφὸν ὀνομάζουσιν Θρασύστομον, τὴν δ' ἀδελφὴν Ἑλένην ὀνομάζουσιν. ἐσμὲν οὖν τέκνα τοῦ Θρασύλλου, ἐσμὲν δὲ καὶ τῆς Εὐρυδίκης τέκνα.

ποῦ δ' οἰκοῦμεν; ὅπου; ἔστι δὴ χωρίον ἐν ἀγροῖς, καὶ ἐν τῷ χωρίῳ οἰκία· ἡμεῖς μὲν οἰκοῦμεν ἐν τῇ οἰκίᾳ, ὁ δὲ Θράσυλλος γεωργεῖ ἐν τῷ χωρίῳ. ἆρ' ἐρωτᾷς, τί ἐστι χωρίον; ἆρ' οὐ δῆλον; ὁ γεωργὸς

γὰρ ἔχει χωρίον, τὸ δὲ χωρίον τόπος ἐστὶν ἐν ᾧ γεωργεῖ γεωργός. χώρα μὲν γάρ ἐστι τόπος, καὶ χωρίον ἐστὶ χώρα μικρά· λέγω δὲ οὕτως, ἐπειδὴ οὐκ εἶ σὺ Ἑλληνικὸν παιδίον. ἆρα δῆλόν σοι νῦν ἐστιν ὃ λέγω; τὸ δὲ χωρίον ἔχει ἀγροὺς οὐκ ὀλίγους.

II A

ΤΟ ΧΩΡΙΟΝ

λέγω δή σοι, ὦ φίλε, ὅτι ἐν χωρίῳ οἰκοῦμεν, καὶ ὅτι τέκνα ἐσμὲν τοῦ Θρασύλλου καὶ τῆς Εὐρυδίκης ἐγώ τε καὶ Θρασύστομος καὶ Ἑλένη. ἐν δὲ τῇ οἰκίᾳ ἡμῶν οἰκεῖ τις καὶ ἄλλη· ἡ δ' ἐστὶ τροφός, καὶ ὀνομάζουσι τὴν τροφὸν ἡμῶν Λαδίκην. ἆρ' ἐρωτᾷς, ποῖόν τί ἐστι τροφός; καὶ δὴ λέγω. τροφὸς γὰρ τρέφει τὰ μικρὰ τέκνα. ἡ οὖν τροφὸς ἡ ἡμετέρα οἰκεῖ μεθ' ἡμῶν ἐν τῇ οἰκίᾳ.

οὐκ ἄδηλόν πού ἐστί σοι ὅτι οἰκοῦμεν ἅμα, ἐγώ τε καὶ ὁ Θράσυλλος ὁ γεωργός, καὶ ὁ ἀδελφός μου Θρασύστομος, καὶ ἡ ἀδελφὴ Ἑλένη, καὶ ἡ Εὐρυδίκη, ἧς τέκνα ἐσμέν, καὶ ἡ Λαδίκη, ἣ τροφός ἐστιν. καὶ ἐν ᾧ χρόνῳ λέγω σοι, μανθάνεις ἕκαστα· δῆλον οὖν δή πού ἐστι, διὰ τί λέγω πολλάκις ἕκαστα. καὶ ἐν ᾧ ἐγὼ λέγω, σὺ ἀκούεις.

ἔπειτα λέγω περὶ τοῦ ἡμετέρου χωρίου. τὸ γὰρ ἡμέτερον χωρίον λόφοι περιέχουσιν. ἆρ' ἐρωτᾷς τί ποτ' ἐστι λόφος; λέγω δή. λόφος γάρ ἐστι τόπος ὑψηλός, ἡ δὲ γῆ ἣν γεωργοῦμεν οὔκ ἐστιν ὑψηλή, ἀλλ' ἔστιν ὁμαλή. ἆρα νῦν δῆλον ὅ τι ἐστὶ λόφος; εἰ μὴ δῆλον, λέγω ἄλλως δή. ἔστι γάρ τοι λόφος μάλιστα ὑψηλὸς ἐν Ἑλβετίᾳ, ὃν ὀνομάζουσι Λόφον Λευκόν· ἔστι δὲ καὶ ἐν Σκωτίᾳ λόφος Νέβις, καὶ ἐν Ἰβερνίᾳ λόφοι Πυρηναῖοι, καὶ ἄλλοι ἐν Ἰταλίᾳ Ἀπεννῖνοι· νῦν που δῆλόν ἐστί σοι. ἀλλὰ οἱ λόφοι

οἱ ἡμέτεροι οὐκ εἰσιν οὕτως ὑψηλοὶ ὡς οἱ Πυρηναῖοι· μικροὶ γὰρ μᾶλλόν εἰσιν οἱ ἡμέτεροι. περιέχουσιν οὖν οἱ λόφοι τὸ χωρίον ἡμῶν κύκλῳ, ὑψηλοὶ μέν, ἀλλ' οὐχ οὕτως ὑψηλοὶ ὡς καὶ ἄλλοι. ἐν μέσῳ δὲ τῶν λόφων τὸ χωρίον ἐστίν, ἐν ᾧ γεωργοῦμεν.

καὶ οὐ μόνον τὸ ἡμέτερον χωρίον ἐστὶν ἐνταῦθα, χωρία δ' ἐστὶν ἐγγὺς ἄλλα. ἐκ δεξιᾶς μὲν τὸ ἡμέτερον, ἐξ ἀριστερᾶς δὲ τὰ ἄλλα· καὶ ἐν μέσῳ ὁδός. ἡ οὖν ὁδός ἐστιν ἐν μέσῳ τοῦ θ' ἡμετέρου χωρίου καὶ τῶν ἄλλων, καὶ τὰ χωρία ἐν μέσῳ τῶν λόφων. δῆλον δή σοί ἐστι νῦν τὰ περὶ τοῦ τόπου, ὡς νομίζω.

II B

ΔΙΑΛΟΓΟΣ

πηλίκον ἐστὶ τὸ χωρίον; μικρόν ἐστι τὸ χωρίον.

τίς τροφός ἐστι τῆς Ἑλένης; Λαδίκη τροφός ἐστι τῆς Ἑλένης.

τίς ἐστι τέκνον Θρασύλλου; Θρασύμαχός τε καὶ Θρασύστομός ἐστον τέκνω τοῦ Θρασύλλου, καὶ δὴ καὶ ἡ Ἑλένη τέκνον ἐστὶν ἄλλο.

ποῦ οἰκεῖ ὁ Θράσυλλος; ἐν χωρίῳ οἰκεῖ.

ἐν πηλίκῳ δὲ χωρίῳ οἰκεῖ ὁ Θράσυλλος; ἐν μικρῷ οἰκεῖ χωρίῳ ὁ Θράσυλλος.

τίς δ' οἰκεῖ ἐν τῷ χωρίῳ μετὰ τοῦ Θρασύλλου; ὁ Θρασύστομος καὶ ὁ Θρασύμαχος καὶ ἡ Ἑλένη οἰκοῦσι μετὰ τοῦ Θρασύλλου ἐν τῷ χωρίῳ.

ἆρα ἔχει Λαδίκη τὸ χωρίον; οὐχ ἡ Λαδίκη ἀλλ' ὁ Θράσυλλος ἔχει τὸ χωρίον.

ποῦ οἰκεῖ ἡ τροφός; μετὰ τῶν ἄλλων οἰκεῖ ἡ τροφός.

τί περιέχει τὸ χωρίον; λόφοι περιέχουσι τὸ χωρίον.

τί δ' ἐν μέσῳ ἐστὶ τῶν χωρίων; ὁδός ἐστιν ἐν μέσῳ τῶν χωρίων.

ἆρ' ἐστὶν ἐξ ἀριστερᾶς τὸ χωρίον τοῦ Θρασύλλου;
οὐκ ἔστιν ἐξ ἀριστερᾶς τὸ χωρίον τοῦ Θρασύλλου, ἀλλὰ ἐκ δεξιᾶς.
ποῖοι δ' εἰσὶν οἱ λόφοι; ὑψηλοί εἰσιν οἱ λόφοι.

II Γ

ΤΟ ΧΩΡΙΟΝ

οὔκ ἐστι μέγα τὸ χωρίον ἐν ᾧ οἰκῶ, ἀλλὰ μικρόν ἐστιν. ἐγὼ δ' οὐκ ἔχω τὸ χωρίον, ἀλλὰ ὁ Θράσυλλος ἔχει τὸ χωρίον ἐν ᾧ οἰκοῦμεν. οὐδ' ἐστὶν τέκνον μου ὁ Θράσυλλος, ἀλλ' ἐγὼ τέκνον εἰμὶ τοῦ Θρασύλλου. ἡ δ' Εὐριδίκη οὔκ ἐστιν ἀδελφή μου, ἀλλ' ἡ Ἑλένη· εἰμὶ δὲ υἱὸς τῆς Εὐρυδίκης, οὐ τῆς Ἑλένης· ἡ γὰρ Ἑλένη ἀδελφή ἐστί μου, καὶ τέκνον τοῦ Θρασύλλου. τροφὸν δ' ἔχομεν τὴν Λαδίκην· ἡ δ' ἐστὶ τροφὸς καὶ ἐμὴ καὶ Ἑλένης. οἰκοῦμεν ἡμεῖς ὁμοῦ, οἰκεῖ δὲ καὶ ἡ τροφὸς μεθ' ἡμῶν, ἡμεῖς δὲ μετὰ τῆς τροφοῦ. ὀνομάζω μὲν ἔγωγε τὴν τροφὸν μάμμην, ἡ δ' Ἑλένη ὀνομάζει τὴν τροφὸν μάμμην, καὶ δὴ καὶ ὁ ἀδελφός· οἱ δ' ἄλλοι ὀνομάζουσιν τὴν τροφὸν Λαδίκην.

λόφους δ' ἔχει ὑψηλοὺς κύκλῳ τὸ χωρίον ἡμῶν· οἰκοῦμεν δ' ἐν μέσοις τοῖς λόφοις, οἵπερ περιέχουσι κύκλῳ τὸ χωρίον. ἐν μέσῳ δὲ τοῦ θ' ἡμετέρου χωρίου καὶ τῶν ἄλλων ὁδός ἐστί τις· ὁρῶ δ' τὸ μὲν ἡμέτερον χωρίον ἐκ δεξιᾶς, τὰ δ' ἄλλα ἐξ ἀριστερᾶς.

III

ΚΗΠΟΣ

τοῦτ' ἐστὶ τὸ χωρίον ἐν ᾧ γεωργεῖ ὁ Θράσυλλος, καὶ οὗτοί εἰσιν οἱ λόφοι, οἳ περιέχουσι τὸ χωρίον· αὕτη δ' ἡ ὁδὸς ἡ ἐν μέσῳ τῶν χωρίων, καὶ ταῦτ' ἐστὶ

τὰ χωρία τὰ ἐν μέσῳ τῶν λόφων. καὶ δὴ καὶ αὕτη ἐστὶν ἡ οἰκία ἡ ἐν μέσῳ τῷ χωρίῳ· οὗτος δὲ κῆπός ἐστιν ἐγγὺς τῆς οἰκίας.

ἆρα δῆλόν σοι ὅ τι ἐστὶ κῆπος; ἆρα τοῦτό μ' ἐρωτᾷς; λέγω δὴ τοῦτο ὥσπερ καὶ τὰ ἄλλα· καὶ ἐν ᾧ χρόνῳ λέγω, σὺ μανθάνεις ἕκαστα. κῆπος γάρ ἐστι τόπος, ἐν ᾧ φυτεύομεν δένδρα καὶ ἄλλα φυτά. ἅπερ δὲ φυτεύομεν ἐν τῷ κήπῳ, ταῦτα ἐσθίομεν, ἢ τὸν καρπὸν αὐτῶν. ἄλλα μὲν γὰρ δένδρα οὐ φυτεύομεν, μόνα δὲ ταῦτα τὰ δένδρα, ἃ φέρει καρπόν· καὶ τὸν καρπὸν ἐσθίομεν τῶν δένδρων. τὰ δὲ δένδρα ἃ καρπὸν φέρει, ταῦτ' ὀνομάζομεν καρποφόρα δένδρα, ἢ καὶ ἀκρόδρυα. λέγω δὴ συκᾶς καὶ ἐλαίας καὶ ἄλλα τοιαῦτα δένδρα. τούτων δὲ τῶν δένδρων ἡ μὲν συκῆ φέρει σῦκα, ἡ δ' ἐλαία φέρει ἐλαίας· ἐσθίομεν δὲ καὶ τὰ σῦκα καὶ τὰς ἐλαίας, ἐκ δὲ τῶν ἐλαιῶν ποιοῦμεν ἔλαιον. καρποὺς δὲ φέρει τὰ δένδρα ἄλλα ἄλλους. λάχανα δὲ καὶ φυτεύομεν καὶ ἐσθίομεν· ταῦτα δ' ἐστὶ σκόροδα καὶ κρόμμυα καὶ ῥάφανοι καὶ κύαμοι καὶ σέλινα καὶ ἄλλα.

III A

ΑΓΡΙΑ ΔΕΝΔΡΑ

ταῦτ' ἐστί τοι δένδρα ἥμερα· ἔστι δὲ καὶ ἄγρια δένδρα ἐπὶ τῶν λόφων. καὶ δὴ ἐρωτᾷς, τί ποτ' ἐστὶν ἄγριον καὶ τί ἥμερον· λέγω οὖν σοι καὶ ταῦτα, καὶ μανθάνεις σὺ ἐν ᾧ λέγω. τὰ μὲν ἥμερα δένδρα ταῦτ' ἐστίν, ἅπερ φυτεύομεν ἐν τῷ κήπῳ· ὥσπερ καὶ τὰ ἥμερα ζῷα ταῦτ' ἐστίν, ἅπερ τρέφομεν ἐν τῇ οἰκίᾳ καὶ ἐν τῷ χωρίῳ. ἀλλὰ τὰ ἄγρια δένδρ' ἐστὶ ταῦθ', ἃ μὴ φυτεύομεν, ὥσπερ καὶ τὰ ἄγρια ζῷα ταῦτ' ἐστίν, ἃ μὴ τρέφομεν. ἐπὶ οὖν τῶν λόφων ἐστὶ τὰ ἄγρια δένδρα, καὶ δὴ καὶ τὰ ζῷα τὰ ἄγρια. ποῖα

δ' ἐστὶ τὰ δένδρα τὰ ἄγρια; ἔστι μὲν ἄλλα, περὶ ὧν ὕστερον· νῦν δὲ λέγω ἔνια αὐτῶν· ἔστι μὲν πεύκη, ἔστι δὲ φηγός, ἔστι δὲ καὶ ἰτέα καὶ πτελέα· ὅπου δὲ πολλὰ δένδρα ὁμοῦ ἐστιν, ταύτην ὕλην ὀνομάζομεν. ἕκαστον δὲ δένδρον κλάδους ἔχει, ἕκαστος δὲ κλάδος φύλλα. ἡ δ' ὕλη πολλὰ δένδρ' ἐνέχει, καὶ φηγοὺς καὶ ἰτέας καὶ πεύκας καὶ πτελέας· καὶ τὰ δένδρα πολλοὺς ἔχει καὶ κλάδους καὶ φύλλα. ταῦτ' ἐστὶν ὑψηλὰ τὰ δένδρα· τὰ δὲ μὴ ὑψηλά, δρυμοὺς λέγομεν. ὑψηλὰ μὲν τὰ δένδρα, ταπεινοὶ δὲ οἱ δρυμοί.

III B

ΖΩΙΑ

ἄγρια οὖν ταῦτα τὰ δένδρα, ἄγριοι δὲ καὶ οἱ δρυμοί. ἐν δὲ τῇ ὕλῃ καὶ δὴ καὶ ἐν τοῖς δρυμοῖς μάλιστα οἰκεῖ τὰ ἄγρια ζῷα, περὶ ὧν ὕστερον. θηρεύομεν γὰρ τὰ ζῷα τὰ ἄγρια, καὶ ἔστιν ἃ αὐτῶν ἐσθίομεν. καὶ περὶ μὲν τῆς ὕλης τοσαῦτα.

οἰκεῖ δ' ἐν τοῖς δένδροις ζῷα ἄλλα, ἅπερ ἔχει πτερά· ταῦτα δὲ οἰκεῖ ἐν τοῖς δένδροις καὶ ἀντὶ οἰκιῶν οἰκοδομοῦσι καλῑάς. ὀνομάζομεν δὲ ὀρνίθια ταῦτα τὰ ζῷα. τὰ οὖν ὀρνίθια οἰκοδομοῦσι καλιάς, ὥσπερ καὶ οἱ ἄνθρωποι οἰκοδομοῦσιν οἰκίας· ἡ καλιὰ γάρ ἐστιν ἀντὶ οἰκίας ὀρνιθίῳ, ἐν ᾗ οἰκεῖ τὰ νεόττια. καὶ ὥσπερ ἄνθρωποι παιδία τίκτουσιν, οὕτως καὶ τὰ ὀρνίθια τίκτει ᾠά. φανερὸν δήπου ἐστί σοι, τοῦθ' ὃ λέγομεν ᾠόν· ἔστι γὰρ μικρὸν καὶ στρογγύλον, καὶ τὰ μέν ἐστι λευκὰ τῶν ᾠῶν, τὰ δ' οὔ. τρέφομεν δὲ καὶ ἥμερα ὀρνίθια, ἅπερ τίκτει ᾠὰ ἡμῖν· ταῦτα δὲ τὰ ᾠὰ λευκά. καὶ τῶν ἡμέρων ὀρνιθίων τὰ ᾠὰ ἐσθίομεν· τῶν δ' ἀγρίων ὀρνιθίων τὰ μὲν ἐσθίομεν, τὰ δ' οὔ.

III Γ

ΩΙΑ

τὰ δ' ᾠὰ ζητοῦμεν ἐν τῷ χωρίῳ ἡμῶν καθ' ἡμέραν· εὑρίσκομεν δ' οὕτως. τὰ μὲν ἄριστα τῶν ἡμέρων ὀρνιθίων τίκτει καθ' ἑκάστην ἡμέραν ᾠόν· καὶ πρῶτον μὲν τίκτει τὸ ᾠὸν ἐν τῇ καλιᾷ, ἔπειτα δὲ κλώζει μέγα. ἐν ᾧ δὲ χρόνῳ κλώζει τὸ ὀρνίθιον, ἀκούομεν ἡμεῖς· καὶ εὐθὺς ζητοῦμεν τὸ ᾠόν, καὶ ἐκ τῆς καλιᾶς λαμβάνομεν, καὶ φέρομεν εἰς τὴν οἰκίαν· ἡ δ' Εὐρυδίκη λαμβάνει τὸ ᾠὸν εὐθύς, καὶ μετὰ ταῦτα ἕψει μετ' ἄλλων ᾠῶν, καὶ ἡμεῖς ἐσθίομεν. τὸ δ' ὀρνίθιον κλώζει οὐχ ἧττον. τῇ δ' ὑστεραίᾳ ἡμέρᾳ τὸ αὐτὸ ποιεῖ τὸ ὀρνίθιον, τὸ δ' αὐτὸ ποιοῦμεν καὶ ἡμᾶς· οὐδὲ θαυμάζει τὸ ὀρνίθιον, ὅπου ποτ' ἐστὶ τὰ ἄλλα ᾠά· κλώζει δ' ὁμοίως καὶ καθ' ἡμέραν τίκτει. ὢ τοῦ φιλανθρώπου ὀρνιθίου· οὕτω γὰρ φιλεῖ τοὺς ἀνθρώπους, ὥστε καθ' ἡμέραν τίκτει ᾠὸν αὐτοῖς τροφήν· τοῦτο δὲ ποιεῖ δήπου ἀντὶ τῆς τροφῆς ᾗ τρέφομεν αὐτὸ ἡμεῖς. οὕτω δὴ τροφὴν μὲν παρέχομεν, τροφὴν δὲ λαμβάνομεν. λέγομεν δὲ τὸ δῶρον, ὅπερ λαμβάνομεν ἀντὶ τροφῆς, τροφεῖα.

III Δ

ΑΓΡΙΑ ΟΡΝΙΘΙΑ

καὶ περὶ μὲν τῶν ἡμέρων ὀρνιθίων τοιαῦτα· περὶ δὲ τῶν ἀγρίων ἄλλος ἐστὶ τρόπος. ταῦτα γάρ, ὡς καὶ λέγω, οἰκοδομεῖ τὰς καλῖὰς ἐν δένδροις ὑψηλοῖς· ἡμεῖς δὲ οὐ τροφὴν παρέχομεν τούτοις τοῖς ὀρνιθίοις, παρέχει δ' ἡμῖν τροφὴν ταῦτα, ἀλλ' οὐχ ἑκουσίως. ὅσοι δὲ λαμβάνουσί τι οὕτως ἀπ' ἀκουσίων, κλέπται εἰσὶ καὶ κλέπτουσιν· ἡμεῖς οὖν κλέπται ἐσμέν. ἀλλ' ὅμως οὐ σκληροί ἐσμεν τοῖς ὀρνιθίοις· λείπομεν γὰρ

ἔστιν ἃ τῶν ᾠῶν ἐν ταῖς καλιαῖς ἑκάστοτε. καὶ οὗτος δή ἐστιν ὁ τρόπος τοῦ ζητεῖν τὰ ᾠὰ ταῦτα, λέγω τὰ τῶν ἀγρίων ὀρνιθίων. περιπατοῦμεν γὰρ κατὰ τὴν ὕλην· κάτωθεν δὲ σκοποῦμεν, εἴ που καλιά τίς ἐστιν. καὶ ἰδού· ὁρῶμεν ἤδη καλιὰν ἐπ᾽ ἄκρου τοῦ δένδρου. ἀναβαίνω οὖν ἐγὼ ἐπὶ τὸ δένδρον, ἀναβαίνει δ᾽ ὁ ἀδελφός. καὶ ἰδού· ἐπὶ κλάδου καλιά, καὶ ἐν τῇ καλιᾷ ᾠά· λαμβάνομεν οὖν ᾠά, καὶ καταβαίνομεν εὐθὺς κατὰ τὸ δένδρον. τὰ δ᾽ ᾠά, ὅσα ἐσθίομεν, ὀνομάζομεν ᾠὰ ἐδώδιμα.

πολλαὶ δὲ τῶν καλιῶν ἐπὶ κλάδων εἰσὶν οὕτως ὑψηλῶν, ὥστε οὐ πάρεστιν ἀναβαίνειν ἐκεῖσε· ταῦτα οὖν μένει ἐν ταῖς καλιαῖς. τὸ δ᾽ ὀρνίθιον ἐπῴζει, τοῦτ᾽ ἔστι, καθίζει ἐπὶ τῶν ᾠῶν· οὕτως μὲν δή ἐστι θερμὰ τὰ ᾠά, εἰ δὲ μή, ψυχρά τ᾽ ἐστὶ καὶ ἀποθνῄσκει. τὰ δὲ ᾠὰ θερμὰ μέν ἐστι, μετὰ χρόνον δ᾽ ὀλίγον, τέκνον ἐστὶν ἐν τῷ ᾠῷ. λέγομεν δὲ τὸ τέκνον τοῦ ὀρνιθίου νεόττιον. τὸ δὲ νεόττιον τὸ ἐν τῷ ᾠῷ θραύει μὲν τὸ ἔξω τοῦ ᾠοῦ, καὶ ἰδού, ἐκπηδᾷ· τὸ δὲ ὀρνίθιον φέρει αὐτῷ καθ᾽ ἡμέραν τροφήν. τὸ δὲ ἀνοίγει μὲν τὸ ῥύγχιον, ἐσθίει δὲ τὴν τροφήν. μετ᾽ ὀλίγον δὲ φύει πτερὰ τὸ νεόττιον, καί ἐστιν ὀρνίθιον ἤδη.

ἆρ᾽ ἐρωτᾷς με, πότερον ἀναβαίνει καὶ ἡ ἀδελφὴ ἐπὶ τὰ δένδρα; ἀναβαίνει· ἀλλ᾽ οὐκ ἐπὶ τὰ ὑψηλὰ δένδρα· κόρη γάρ ἐστιν αὕτη, αἱ δὲ κόραι οὐκ ἀναβαίνουσιν ἐπὶ τὰ δένδρα τὰ μάλιστα ὑψηλά. οὐ γὰρ οὕτως ἰσχυραί εἰσιν αἱ κόραι ὡς ἡμεῖς. οὐδ᾽ αὖ ἡ τροφὸς ἀναβαίνει· γεραιὰ γάρ ἐστιν, αἱ δὲ γεραιαὶ οὐκ ἰσχυραί. οὐδὲ πρέπει γ᾽, ὡς λέγει· ἀλλ᾽ ἔμοιγε δοκεῖ, ὅτι οὐκ ἐθέλει· νωθρὰ γὰρ ἔμοιγε δοκεῖ. ἀλλ᾽ οὐκ ἔγωγε νωθρός, ἀλλὰ νεανικός. αἱ δὲ κόραι καὶ αἱ γεραιαὶ ἐσθίουσι γοῦν τὰ ᾠά, εἰ καὶ μὴ ἀναβαίνουσιν ἐπὶ τὰ δένδρα· πρὸς τοῦτό γε δὴ οὐ νωθραὶ δοκοῦσιν. τί σοὶ δοκεῖ, ὦ φίλε; ἆρ᾽ ἐστὶν οὕτως καὶ παρ᾽ ὑμῖν;

III E

ΔΙΑΛΟΓΟΣ

ποῖα δένδρ' ἐστὶν ἐπὶ τῶν λόφων; ὑψηλά τε καὶ καλὰ δένδρα ἐπὶ τῶν λόφων ἐστίν.

ποῖά ἐστι τὰ καρποφόρα δένδρα; ταῦθ' ἅπερ καρποὺς φέρει καρποφόρα δένδρα ἐστίν.

τὰ δ' ἀκρόδρυα ποῖα; καρποφόρα δένδρα ὀνομάζουσι καὶ ἀκρόδρυα.

ποῖον καρπὸν φέρει ἡ συκῆ; σῦκα φέρει ἡ συκῆ.

τί δ' ἐστὶ τὸ σῦκον; καρπός ἐστι τῆς συκῆς τὸ σῦκον.

ποῦ ἐστι τὰ ᾠὰ τῶν ὀρνιθίων; ἐν ταῖς καλιαῖς ἐστι τὰ ᾠὰ τῶν ὀρνιθίων.

τί δ' ἐστιν ᾠόν; τὰ ὀρνίθια τίκτει ᾠά· τὸ δ' ᾠὸν μικρόν ἐστι καὶ στρογγύλον, καὶ ἐν τῷ ᾠῷ ἐστι τὸ νεόττιον.

τὸ δὲ νεόττιον τί ἐστιν; τέκνον ἐστὶν ὀρνιθίου τὸ νεόττιον.

III Z

ΠΑΙΔΙΑ

ἔστι τις κώμη πέλας τῆς οἰκίας ἡμῶν· ἐν δὲ τῇ κώμῃ οἰκίαι εἰσὶ πολλαί, καὶ ἐν ταῖς οἰκίαις πολλὰ παιδία· καὶ παιδίσκοι καὶ κόραι ἔνεισιν ἐν τῇ κώμῃ. οἱ δὲ παιδίσκοι καὶ αἱ κόραι παίζουσιν. ἄλλοτε δύο στίχοι εἰσίν, ἕτερος μὲν στίχος παιδίσκων, ἕτερος δὲ κορῶν. καὶ ὁ ἕτερος στίχος ἐναντίον ἐστὶ τοῦ ἑτέρου. καὶ ᾄδουσιν οἱ στίχοι. ὁ μὲν ἕτερος στίχος ᾄδει·

ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;

ὁ δ' ἕτερος στίχος ᾄδει·

ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.

καὶ ἐν ᾧ ᾄδουσι, χορεύουσιν πρὸς ἀλλήλους· προχωρεῖ μὲν ὁ ἕτερος στίχος, ἀναχωρεῖ δὲ ὁ ἕτερος.

αἱ δ' αὖ κόραι παίζουσιν καὶ ὧδε. μία μὲν καθίζει ἐν μέσῳ, αἱ δ' ἄλλαι κύκλῳ περιτρέχουσι καὶ χορεύουσι, καὶ ᾄδουσι·

χέλει-χελώνη, τί ποιεῖς ἐν τῷ μέσῳ;

ἡ δ' ἐν μέσῳ ᾄδει·

πλέκω τὰ ἔρια καὶ κρόκην Μιλησίαν.

παίζει δὲ τὰ παιδία πολλὰ καὶ ἄλλα, περὶ ὧν ὕστερον.

III Η

ΚΑΛΙΑΙ

ἆρ' ἀγνοεῖς ὅτι ἀναβαίνω πολλάκις ἐπὶ τὰ δένδρα, καὶ ζητῶ τὰ ᾠὰ τῶν ὀρνιθίων; αὖθις οὖν λέγω σοι ταῦτα· λήθη γὰρ ἔχει τοὺς ἀνθρώπους ῥᾳδίως. λέγω αὖθις καὶ τοῦτο· ὅτι οἰκοδομεῖ τὰ ὀρνίθια καλιάς, ἐν δὲ ταῖς καλιαῖς ἐστι τὰ ᾠὰ ἃ ζητῶ. τὰς δὲ καλιὰς οἰκοδομεῖ τὰ ὀρνίθια, τὰς μὲν ἐπὶ τῶν δένδρων τῶν ὑψηλῶν, τὰς δὲ ἐν τοῖς δρυμοῖς τοῖς ταπεινοῖς, τὰς δὲ καὶ ἐν τῇ πόᾳ· τὰ δὲ ἐν τοῖς δρυμοῖς ᾠὰ εὑρίσκει καὶ ἡ ἀδελφή, ἀλλ' οὐκ ἀναβαίνει ἐπὶ τὰ ὑψηλὰ δένδρα ὥσπερ ἐγὼ ἀναβαίνω· αὖθις γὰρ λεκτέον ὅτι οὔτ' ἰσχυραί εἰσιν αἱ κόραι οὔτ' ἀνδρεῖαι, ὥστε διὰ τοῦτο οὐκ ἀναβαίνουσιν ἐπὶ τὰ δένδρα τὰ ὑψηλά. οὐδ' ἡ τροφὸς ἀναβαίνει οὐδαμῶς· πῶς γὰρ δή; γεραιὰ γάρ ἐστι.

III Θ

ΚΩΜΗ

τὸ χωρίον ἐν ᾧ οἰκοῦμεν ἐγγύς ἐστι κώμης· ἆρα γιγνώσκεις ὅ τι ἐστὶ κώμη; λέγω δή. ἐν τῇ κώμῃ

οἰκίαι εἰσίν, οἱ δὲ ἐν τῇ κώμῃ ἄνθρωποι, κωμηταί. καὶ ἐν τῇ ἡμετέρᾳ κώμῃ ἀγορά ἐστιν· μικρὰ μὲν ἡ κώμη, μικρὰ δὲ καὶ ἡ ἀγορά· καὶ δὴ καὶ τὸ χωρίον ἡμῶν μικρόν. καὶ ἐν τῇ ἀγορᾷ ἀγοράζουσι μὲν οἱ ἀγορασταί, πωλοῦσι δὲ οἱ πωληταί. ἐγὼ δέ, ὃς λέγω, μικρός εἰμι· ἀλλ' ἡ τροφός μου οὔκ ἐστι μικρά. οὐδὲ οἱ λόφοι μικροί, οἳ περιέχουσι τὸν τόπον κύκλῳ· ὑψηλοὶ γάρ εἰσιν οἱ λόφοι. ἀλλὰ οἱ ὑψηλοὶ λόφοι μικρὰν κώμην περιέχουσι. λέγω δὴ πολλάκις τὰ περὶ τῆς κώμης· ἡ μνήμη γὰρ ἡ τῶν ἀνθρώπων οὐ ῥᾳδίως κατέχει τοῦτο, ὃ λέγομεν ἅπαξ. οὕτως λέγει ὁ διδάσκαλος. οὐ δήπου νῦν ἀγνοεῖς οὔτε τὰ περὶ τῶν λόφων οὔτε τὰ περὶ τῆς κώμης, οὔθ' ὅπως ὀνομάζομεν τὴν τροφὸν ἡμῶν, οὔθ' ὅτι Ἑλένη ἡ ἀδελφή μου, οὔθ' ὅτι ἐγὼ υἱός εἰμι τοῦ τε Θρασύλλου καὶ τῆς Εὐρυδίκης. τίς δῆτα ἀγνοεῖ;

IV

ΟΙΚΙΑ

ὥρα νῦν λέγειν σοι τὰ περὶ τῆς οἰκίας. μικρὰ μέν ἐστιν ἡ οἰκία ἡμῶν, μικροτάτη μὲν οὖν· τί μήν; οὐ γὰρ πολλοί ἐσμεν, οὐδὲ πλούσιοι.

πρῶτον μὲν ἐκ τῆς ὁδοῦ ὁρῶμεν τοῖχον μέγαν, καὶ ἐν τῷ τοίχῳ πύλας· τῆς δ' ἡμέρας ἀνοικταί εἰσιν αἱ πύλαι. ἐντὸς δὲ τῶν πυλῶν βλέπομεν αὐλὴν μεγάλην, καὶ ἐν τῇ αὐλῇ τὰ ὀρνίθια, καὶ δὴ καὶ ἴσως ἕν τι τῶν ζῴων, ἢ ἵππον ἢ ὄνον ἢ ἡμίονον. ἆρ' ἀγνοεῖς ποῖα ἄττα ἐστὶ ταῦτα; οὐκ ἔχω λέγειν καλῶς, ὅμως δὲ λέγω. ὁ μὲν ἵππος ἕλκει τὴν ἅμαξαν· ὁ δ' ὄνος ὅμοιος μὲν ἵππῳ ἐστί, διαφέρει δέ· καὶ γὰρ μικρότερός ἐστι, καὶ μιαρὰν ἔχει τὴν φωνήν, καὶ ἐσθίει ἀκάνθας. ὁ δ' ἡμίονος τέκνον ἐστὶν ἵππου καὶ ὄνου. δοκεῖς δὴ νῦν οὐκ ἀγνοεῖν ὅ τι λέγω. ταῦτ' οὖν ἐν τῇ αὐλῇ βλέπεις· ὀρνίθια καὶ ἴσως ἵππον ἢ ὄνον καὶ ἅμαξαν.

ἐξ ἀριστερᾶς δὲ τῆς αὐλῆς καὶ ἐκ δεξιᾶς οἰκίσκοι εἰσὶ μικροὶ ἢ δωμάτια, ἐν οἷς ἔχομεν τοῖς ζῴοις τὴν τροφήν, καὶ δὴ καὶ ἄλλα πολλά. ἐναντίον δὲ βλέπεις τὸν πρόδομον· οὔκ ἐστι κλειστὸς ὁ πρόδομος, ἀλλ᾽ ἀνοικτός· σκιὰν δ᾽ ἔχει, ὥστε μὴ καίειν ἡμᾶς τὸν ἥλιον. περαιτέρω δὲ τοῦ προδόμου ἡ οἰκία ἤδη ἐστίν, καὶ ἐν τῇ οἰκίᾳ τράπεζαι καὶ κλῖναι καὶ δίφροι, περὶ ὧν λέγω τοιάδε. ἐπὶ μὲν τραπέζης ἐστὶν ὅσα ἐσθίομέν τε καὶ πίνομεν, σιτία λέγω καὶ οἶνον καὶ τὰ ἄλλα· καθίζομεν δὲ ἐπὶ τῶν δίφρων. ἐπὶ δὲ τῶν κλινῶν καθεύδομεν. καθεύδομεν δὲ καὶ ἔνδον καὶ ἐν τῷ προδόμῳ καὶ ἐπὶ τῆς στέγης—τὸ γὰρ ἄνωθε τῆς οἰκίας στέγην ὀνομάζομεν—καὶ δὴ καὶ ἔξω.

ἐσθίομεν δὲ τρὶς τῆς ἡμέρας. ἑῷοι μὲν ὀλίγον πάνυ ἐσθίομέν τε καὶ πίνομεν· ἔπειτα πρὸ τῆς μεσημβρίας ᾱ̓ριστῶμεν· εἶτα τῆς ἑσπέρας δειπνοῦμεν. τὸ μὲν πρῶτον ὀλίγον ἐστί, καὶ οὐκ ὀνομάζομεν αὐτὸ οὐδέν· τὸ δὲ δεύτερον λέγομεν τὸ ᾱ̓ριστον, τὸ δὲ τρίτον ἐστὶ τὸ δεῖπνον. μετὰ ταῦτα λαλοῦμεν μετ᾽ ἀλλήλων, καὶ καθεύδομεν.

IV A

ΚΗΠΟΣ

καὶ κύκλῳ περὶ τὴν οἰκίαν ἀγροὶ μέν εἰσιν, οὓς γεωργοῦμεν, καὶ ἄλλος ἐστὶ τόπος ἐν ᾧ αἱ ἄμπελοι, ἔστι δὲ καὶ κῆπος, ἐν ᾧ κηπεύομεν. καὶ περὶ μὲν τῆς γεωργίας ὕστερον λεκτέον ἐστί· περιέχει δὲ ὁ κῆπος τὴν οἰκίαν, ἐν δὲ τῷ κήπῳ πολλὰ καὶ ἄλλα πάρεστι βλέπειν, καὶ δὴ καὶ λάχανα καὶ πόαν καὶ ἴα καὶ ῥόδα. καὶ ἀπὸ τῆς ἀμπέλου δρέπομεν σταφυλάς· καὶ τῶν σταφυλῶν τὰς μὲν ἐσθίομεν, τὰς δὲ ξηραίνομεν, τὰς δὲ πατοῦμεν ἐν τῇ ληνῷ, καὶ ποιοῦμεν οὕτως οἶνον. δρέπομεν δὲ καὶ σῦκα ἀπὸ τῶν συκῶν, καὶ ἐλαίας ἀπὸ

τῶν ἐλαιῶν. περὶ τούτων ὕστερον λεκτέον μοι· νῦν γὰρ οὐ πάρεστιν. οἴμοι· φεῦ· ὡς πολλάκις λέγω τὸ αὐτό· καὶ γὰρ οὐ γιγνώσκετε οὔπω τὴν Ἑλληνικὴν γλῶτταν. ἀλλὰ ῥᾳδία μᾶλλον δοκεῖ εἶναι καθ' ἡμέραν, ὡς νομίζω. πῶς γὰρ οὔ; ἐγὼ μὲν οὐ δεινός εἰμι λέγειν, σὺ δέ που δεινὸς εἶ μανθάνειν.

IV B

ΔΙΑΛΟΓΟΣ

τί κῆπός ἐστιν; τόπος ἐστὶ κῆπος ἐν ᾧ δένδρα καὶ ἄλλα φυτὰ φυτεύομεν.

τί φυτεύετε ἐν τῷ κήπῳ; συκᾶς φυτεύομεν ἐν τῷ κήπῳ, καὶ ἐλαίας.

τί ἄλλο φυτεύετε πρὸς τούτοις; λάχανα φυτεύομεν παντοῖα.

τί δρέπετε ἀπὸ τῶν συκῶν; σῦκα δρέπομεν ἀπὸ τῶν συκῶν.

ἀπὸ δὲ τῶν ἐλαιῶν τί δρέπετε; ἐλαίας δρέπομεν ἀπὸ τῶν ἐλαιῶν.

ἀπὸ δὲ τῶν λαχάνων τί δρέπετε; ἀπὸ τῶν γε λαχάνων οὐδέν.

ποῖα δ' ἄττ' ἐστὶ τὰ λάχανα; σκόροδα καὶ κρόμμυα καὶ ῥάφανοι καὶ κύαμοι καὶ σέλινα, ταῦτ' ἐστὶ λάχανα.

πρὸς τί οὖν χρήσιμά ἐστι τὰ λάχανα; πρὸς τὸ ἐσθίειν ἐστὶ χρήσιμα τὰ λάχανα.

καὶ δὴ καὶ ἐν τῇ οἰκίᾳ τί ἔνεστιν; δίφροι ἔνεισι καὶ κλῖναι καὶ τράπεζαι.

ὁ δίφρος δὲ τί ἐστιν; καθίζομεν δὴ ἐπὶ δίφρου.

ἆρα καὶ ἐν τῇ τραπέζῃ καθίζετε; τὰ σίτια μὲν οὖν ἐσθίομεν ὅσα ἐστὶν ἐπὶ τῆς τραπέζης.

καὶ ἐπὶ τῶν κλινῶν τί ποιεῖτε; καθεύδομεν ἐπὶ τῶν κλινῶν.

IV Γ

ΑΙ ΑΘΗΝΑΙ

ἐνθένδε ὁρῶμεν τὰς Ἀθήνας· φανεραὶ γάρ εἰσιν αἱ Ἀθῆναι ἀπὸ τῆς κώμης, ἐν ᾗ οἰκῶ μετὰ τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς καὶ τοῦ Θρασύλλου καὶ τῶν ἄλλων. καὶ δὴ καὶ ἐν ταῖς Ἀθήναις φανερός ἐστι ναὸς τῆς Ἀθήνης, ὅς ἐστιν ἐπὶ τῆς πέτρας ἣν ὁρᾶτε. ἡ μὲν γὰρ Ἀθήνη θεός ἐστίν, ἡμεῖς δὲ σέβομεν τὴν Ἀθήνην· σέβομεν δὲ καὶ ἄλλους θεοὺς ἐγχωρίους, περὶ ὧν ὕστερον. καὶ πολλάκις ἄγομεν ἑορτὰς καὶ Ἀθήνησι καὶ κατ᾽ ἀγρούς· ᾄδομεν, χορεύομεν, σφάζομεν ἱερά, ἐσθίομεν, πίνομεν· τί δ᾽ οὐ ποιοῦμεν ἐν ταῖς ἑορταῖς; ἐν τοῖς Παναθηναίοις πομπή ἐστι λαμπροτάτη· ἐν τοῖς Διονυσίοις φοιτῶμεν εἰς τὸ θέατρον· καὶ αἰεὶ χαίρομεν.

IV Δ

ΑΡΙΘΜΟΣ

ἀριθμῶ μὲν τοὺς ἐν τῇ οἰκίᾳ ἀνθρώπους· καὶ πέντε ἐσμέν. ἀριθμῶ δὲ τὰ τῆς οἰκίας οἰκήματα, καὶ δέκα ἐστίν. ἀριθμῶ δὲ καὶ τοὺς δίφρους ὅσοι ἔνεισι· καὶ οὗτοι εἴκοσίν εἰσι μάλιστα. τὰς δὲ κλίνας ἀριθμῶ· εἰσὶ δ᾽ ἕξ. τὰς δὲ τραπέζας ἀριθμῶ· τρεῖς εἰσιν. πόσους ἔχεις ὀφθαλμούς; ἀριθμῶ τοὺς ὀφθαλμούς· ἔχω δὲ ὀφθαλμὼ δύο ἔγωγε, δύο δ᾽ ἔχεις καὶ σύ, καὶ δὴ καὶ ἕκαστός τις, εἰ μή γ᾽ οἱ τυφλοί· ὁ γὰρ τυφλὸς οὐκ ἔχει ὀφθαλμούς, ἢ οὐχ ὁρᾷ γε τοῖς ὀφθαλμοῖς· ἡμῶν δ᾽ οὐδεὶς τυφλός. καὶ εἰσὶν οἳ τυφλοί εἰσι τὸν ἕτερον ὀφθαλμόν· τούτους λέγομεν ἑτεροφθάλμους. ὤμους δὲ ἔχει ἕκαστος δύο. καὶ δακτύλους ἔχω εἴκοσι, δέκα μὲν ἄνω, δέκα δὲ κάτω. ἀλλ᾽ οὐκ ἔχω νῦν λέγειν

τὰ ἄλλα ὄργανα· ἄλλῳ γὰρ ὀργάνῳ ἀκούω, ἄλλῳ δὲ ὀργάνῳ βαδίζω, ἄλλῳ δὲ ἐσθίω, καὶ τὰ λοιπὰ οὕτως.

IV E

ΤΑ ΕΝ ΟΙΚΙΑΙ

οὐκ ἀγνοεῖς δὴ ὁπόσα δωμάτιά ἐστιν ἐν τῃ ἡμετέρᾳ οἰκίᾳ· λέγω γὰρ αὖθις ὅτι δέκα. εἰσὶ δὲ καὶ ἐν αὐτῇ δίφροι, ἐφ' ὧν καθίζομεν, καὶ κλῖναι, ἐν αἷς καθεύδομεν, καὶ τράπεζαι, ἐφ' ὧν ἐστι τὰ σιτία καὶ ὁ οἶνος· τὰ μὲν σιτία ἐσθίομεν, τὸν δ' οἶνον πίνομεν. ποτήρια δ' ἐστὶν ἡμῖν ἐξ ὧν πίνομεν, λεκάναι δ' ἐξ ὧν ἐσθίομεν τὰ σιτία. καὶ μὴν ποῖά γ' ἐστὶν ἡμῖν τὰ σιτία; ἄρτος μὲν καὶ μᾶζα, μετὰ ταῦτα τῦρὸς λευκός, καὶ ᾠά, καὶ ὀρνίθεια, καὶ δὴ καὶ ἄλλα ἐστὶν περὶ ὧν λεκτέον ἐστὶν ὕστερον· οὐ γὰρ νῦν πάρεστιν. τὰ δ' ἐκ τοῦ κήπου ἐσθίομεν· λάχανα λέγω καὶ ὀπώραν, σταφυλάς τε καὶ σῦκα καὶ ἐλαίας. ἆρα ἀγνοεῖς τὴν περὶ σύκων παροιμίαν; αὕτη δή ἐστιν ἡ παροιμία· "οὐ σῦκον σύκῳ ὁμοιότερον." καὶ δὴ ἐγὼ ὅμοιός εἰμι τῷ ἀδελφῷ· ὁρᾷ τις νώ, καὶ λέγει· "ὁμοιότερός ἐστι τῷ ἀδελφῷ ὁ Θρασύμαχος ἢ σῦκον σύκῳ." οἷον γὰρ ἄλλο σῦκον, τοιοῦτο καὶ ἄλλο.

IV Z

ΔΙΔΑΣΚΑΛΟΣ

οὐκ ἔχομεν ἡμεῖς, ὥσπερ καὶ ὑμεῖς, οἶκον μέγιστον ἐν ᾧ διδάσκουσι πολλοὶ διδάσκαλοι· παρ' ὑμῖν γάρ ἐστιν οἶκος ὃς πολλὰ ἔχει δωμάτια, ἄλλα μὲν μεγάλα, ἄλλα δὲ μικρότερα· εἰσὶ δὲ καὶ διδάσκαλοι πολλοί, εἷς μὲν ἀρχιδιδάσκαλος, ἕτεροι δ' ὑποδιδάσκαλοι. ἐμοὶ δ' ἐστὶ παιδαγωγὸς μέν, ὃς δοῦλός ἐστι, καὶ ἄγει με εἰς τὴν κώμην παρὰ τὸν διδάσκαλον· διδάσκει δ'

ὁ διδάσκαλος ἢ ἐν τῇ ἑαυτοῦ οἰκίᾳ, ἢ ἐν τῇ αὐλῇ, ἢ ὑπὸ τῶν δένδρων ἔξω. ὑμεῖς μὲν γράφετε καλάμοις ἐν παπύρῳ, ἢ γύψῳ ἐν τῷ τοίχῳ· ἡμεῖς δὲ γράφομεν στύλῳ ἐν πινακίῳ, ἢ ξύλῳ ἐπὶ τῆς γῆς. ἆρ' ἀγνοεῖς ποῖα ἄττα ἐστὶ τὰ πινάκια ἡμῶν; λέγω δή. ξύλινα μέν ἐστι ταῦτα τὰ πινάκια, ἔστι δ' ἐπ' αὐτῶν μάλθα ἐν ᾗ γράφομεν τοῖς στύλοις· καὶ μετὰ ταῦτα λεαίνομεν τὴν μάλθαν, καὶ λεία ἐστὶν ἤδη· ὥστε γράφομεν πολλάκις ἐν τῇ αὐτῇ μάλθῃ. οὕτως οὐ δεῖ ἡμῖν πολλῶν πινακίων, τὰ δὲ αὐτὰ πινάκια ἱκανά ἐστιν. ἆρ' ἀγνοεῖς τὴν μάλθαν, ὅ τι ἐστί; ἦ που δεινὸς εἶ σύ γε μανθάνειν.

IV H

ΤΑ ΤΟΥ ΔΙΔΑΣΚΑΛΕΙΟΥ

γράφομεν δὴ οὕτως. γάμμα ῥῶ ἄλφα φῖ οὖ μῦ εἶ νῦ, τοῦτ' ἐστί, γράφομεν· εἶ πῖ ἰῶτα, ἐπί· ταῦ οὖ ῦ, τοῦ· πῖ ἰῶτα νῦ ἄλφα κάππα ἰῶτα οὖ ῦ, πινακίου. γράφομεν δὲ καλῶς· οὐ γὰρ ἐθέλομεν πληγὰς λαμβάνειν. καὶ γὰρ ἔχει ξύλον ὁ διδάσκαλος, ᾧ παίει ἡμᾶς ἐνίοτε· ἀλλ' οὐ πολλάκις παίει τὰ παιδία τῷ ξύλῳ, ἐπεὶ εὔκολός ἐστιν. οἱ δὲ δύσκολοι διδάσκαλοι πολλάκις παίουσι τὰ παιδία, ἐν ᾧ χρόνῳ διδάσκουσιν.

πρὸς δὲ τούτοις μανθάνομεν ἀναγιγνώσκειν τὰ τῶν ποιητῶν, καὶ δὴ καὶ ἐκμανθάνομεν, ὥστε λέγειν ἄνευ πινακίου καὶ ἄνευ βιβλίου. ποιητῶν τοι ὁ μέγιστός ἐστιν Ὅμηρος. μανθάνομεν δὲ ἀναγιγνώσκειν τὰ τοῦ Ὁμήρου, καὶ τὰ Ἰλιακὰ καὶ τὴν Ὀδυσσείαν, περὶ ὧν ὕστερον λεκτέον ἐστίν. μαθηταί ἐσμεν καλοί, καὶ μανθάνομεν εὖ, ἐπεὶ οὕτως εὔκολός ἐστιν ὁ διδάσκαλος· ὁ δὲ σοφώτατός τίς ἐστι, καὶ δυνατός ἐστι λέγειν πάντα τὰ Ὁμηρικὰ ἄνευ βιβλίου.

IV Θ

ΑΡΙΘΜΟΣ

ἀριθμοῦμεν δ' οὕτως. εἷς, δύο, τρεῖς, τέτταρες, πέντε, ἕξ, ἑπτά, ὀκτώ, ἐννέα, δέκα. μετὰ ταῦτα ἕνδεκα, δώδεκα, τρεῖς καὶ δέκα, τέτταρες καὶ δέκα, πέντε καὶ δέκα, ἑκκαίδεκα, ἑπτὰ καὶ δέκα, ὀκτὼ καὶ δέκα, ἐννέα καὶ δέκα, εἴκοσιν.

καὶ μετὰ τὰ εἴκοσιν· εἷς καὶ εἴκοσι, δύο καὶ εἴκοσι, τρεῖς καὶ εἴκοσι, τέτταρες καὶ εἴκοσι, πέντε καὶ εἴκοσιν, ἓξ καὶ εἴκοσιν, ἑπτὰ καὶ εἴκοσιν, ὀκτὼ καὶ εἴκοσιν, ἐννέα καὶ εἴκοσι, τριᾱ́κοντα.

μετὰ δὲ τὰ τριάκοντα· εἷς καὶ τριάκοντα, δύο καὶ τριάκοντα, τρεῖς καὶ τριάκοντα, τέτταρες καὶ τριάκοντα, πέντε καὶ τριάκοντα, ἓξ καὶ τριάκοντα, ἑπτὰ καὶ τριάκοντα, ὀκτὼ καὶ τριάκοντα, ἐννέα καὶ τριάκοντα, τετταρᾱ́κοντα.

μετὰ δὲ τὰ τετταράκοντα· εἷς καὶ τετταράκοντα, δύο καὶ τετταράκοντα, τρεῖς καὶ τετταράκοντα, τέτταρες καὶ τετταράκοντα, πέντε καὶ τετταράκοντα, ἓξ καὶ τετταράκοντα, ἑπτὰ καὶ τετταράκοντα, ὀκτὼ καὶ τετταράκοντα, ἐννέα καὶ τετταράκοντα, πεντήκοντα.

μετὰ δὲ τὰ πεντήκοντα· εἷς καὶ πεντήκοντα, δύο καὶ πεντήκοντα, τρεῖς καὶ πεντήκοντα, τέτταρες καὶ πεντήκοντα, πέντε καὶ πεντήκοντα, ἓξ καὶ πεντήκοντα, ἑπτὰ καὶ πεντήκοντα, ὀκτὼ καὶ πεντήκοντα, ἐννέα καὶ πεντήκοντα, ἑξήκοντα.

λέγομεν δὲ τῷ αὐτῷ τρόπῳ περὶ τῶν ἑβδομήκοντα, ὀγδοήκοντα, ἐνενήκοντα, ἑκατόν.

καὶ δὴ καὶ τῷ αὐτῷ τρόπῳ μετὰ ταῦτα λέγομεν· εἰσὶ γὰρ διᾱκόσιοι, τριᾱκόσιοι, τετρᾰκόσιοι, πεντᾰκόσιοι, ἑξᾰκόσιοι, ἑπτᾰκόσιοι, ὀκτᾰκόσιοι, ἐνᾰκόσιοι, χῑ́λιοι.

IV I

ΠΟΛΛΑΠΛΑΣΙΩΣΙΣ

πολλαπλασιοῦμεν δ' οὕτω τοὺς ἀριθμούς. ἅπαξ ἕν ἐστιν ἕν, δὶς ἕν ἐστι δύο, τρὶς ἕν ἐστι τρία, τετράκις ἕν ἐστι τέτταρα, πεντάκις ἕν ἐστι πέντε, ἑξάκις ἕν ἐστιν ἕξ, ἑπτάκις ἕν ἐστιν ἑπτά, ὀκτάκις ἕν ἐστιν ὀκτώ, ἐνάκις ἕν ἐστιν ἐννέα, δεκάκις ἕν ἐστι δέκα, ἑνδεκάκις ἕν ἐστιν ἕνδεκα, δωδεκάκις ἕν ἐστι δώδεκα, τρισκαιδεκάκις ἕν ἐστι τρία καὶ δέκα, τετταρεσκαιδεκάκις ἕν ἐστι τέτταρα καὶ δέκα, πεντεκαιδεκάκις ἕν ἐστι πέντε καὶ δέκα, ἑκκαιδεκάκις ἕν ἐστιν ἑκκαίδεκα, ἑπτακαιδεκάκις ἕν ἐστιν ἑπτὰ καὶ δέκα, ὀκτωκαιδεκάκις ἕν ἐστιν ὀκτὼ καὶ δέκα, ἐννεακαιδεκάκις ἕν ἐστιν ἐννέα καὶ δέκα, εἰκοσάκις ἕν ἐστιν εἴκοσιν.

τῷ δ' αὐτῷ τρόπῳ καὶ περὶ τοῦ τριακοντάκις, τετταρακοντάκις, πεντηκοντάκις, ἑξηκοντάκις, ἑβδομηκοντάκις, ὀγδοηκοντάκις, ἐνενηκοντάκις, ἑκατοντάκις, χιλιάκις, μυριάκις.

καὶ δὴ καὶ ἅπαξ δύο ἐστὶ δύο, δὶς δύο ἐστὶ τέτταρα, τρὶς δύο ἐστὶν ἕξ, τετράκις δύο ἐστὶν ὀκτώ, πεντάκις δύο ἐστὶ δέκα, ἑξάκις δύο ἐστὶ δώδεκα, ἑπτάκις δύο ἐστὶν τέτταρα καὶ δέκα, ὀκτάκις δύο ἐστὶν ἑκκαίδεκα, ἐνάκις δύο ἐστὶν ὀκτὼ καὶ δέκα, δεκάκις δύο ἐστὶν εἴκοσι, ἑνδεκάκις δύο ἐστὶ δύο καὶ εἴκοσι, δωδεκάκις δύο ἐστὶ τέτταρα καὶ εἴκοσιν.

καὶ τῷ αὐτῷ δὴ τρόπῳ· ἅπαξ τρία ἐστὶ τρία, δίς τρία ἐστὶν ἕξ, τρὶς τρία ἐστὶν ἐννέα, τετράκις τρία δώδεκ' ἐστί, πεντάκις τρία πέντε καὶ δέκα, ἑξάκις τρία ὀκτὼ καὶ δέκα, ἑπτάκις τρία ἓν καὶ εἴκοσιν, ὀκτάκις τρία τέτταρα καὶ εἴκοσιν, ἐνάκις τρία ἑπτὰ καὶ εἴκοσιν, δεκάκις τρία τριάκοντα, ἑνδεκάκις τρία τρία καὶ τριάκοντα, δωδεκάκις τρία ἓξ καὶ τριάκοντα.

οὐδ' ἄλλῳ τρόπῳ τὰ λοιπά· ἅπαξ τέτταρα, δὶς

τέτταρα· καὶ ἅπαξ πέντε, δὶς πέντε, τρὶς πέντε· καὶ δὴ καὶ τοὺς ἄλλους τῶν ἀριθμῶν ἀριθμοῦμεν τῷ αὐτῷ τρόπῳ· σὺ δὲ λέγε δὴ ἄνευ βιβλίου οὕτως.

λοιπὸν δή ἐστι λέγειν τὰ μετὰ τοὺς χιλίους· οὕτω δὲ λεκτέον ἐστίν. δισχίλιοι, τρισχίλιοι, καὶ τὰ ἄλλα μεχρὶ τῶν ἐνακισχιλίων· ἀντὶ δὲ τῶν δεκάκις χιλίων λέγομεν μυρίους, καὶ δισμυρίους, καὶ τὰ ἄλλα οὕτως.

IV K

ΜΕΡΙΣΜΟΣ

διαμερίζομεν δ' αὖ τοὺς ἀριθμοὺς ὧδέ πως.

πόστον μόριον ἢ πόστη μοῖρά ἐστι τὸ ἓν τοῖν δυοῖν;
ἡμίσεια μοῖρά ἐστι τὸ ἓν τοῖν δυοῖν.

πόστη μοῖρα τὸ ἓν τῶν τριῶν; τρίτη μοῖρα τὸ ἓν τῶν τριῶν.

πόστη μοῖρα τὸ ἓν τῶν τεττάρων; τετάρτη μοῖρα τὸ ἓν τῶν τεττάρων.

πόστη μοῖρα τὸ ἓν τῶν πέντε; πέμπτη μοῖρα τὸ ἓν τῶν πέντε.

πόστη μοῖρα τὸ ἓν τῶν ἕξ; ἕκτη μοῖρα τὸ ἓν τῶν ἕξ.

πόστη μοῖρα τὸ ἓν τῶν ἑπτά; ἑβδόμη μοῖρα τὸ ἓν τῶν ἑπτά.

πόστη μοῖρα τὸ ἓν τῶν ὀκτώ; ὀγδόη μοῖρα τὸ ἓν τῶν ὀκτώ.

πόστη μοῖρα τὸ ἓν τῶν ἐννέα; ἐνάτη μοῖρα τὸ ἓν τῶν ἐννέα.

πόστη μοῖρα τὸ ἓν τῶν δέκα; δεκάτη μοῖρα τὸ ἓν τῶν δέκα.

πόστη μοῖρα τὸ ἓν τῶν ἕνδεκα; ἑνδεκάτη μοῖρα τὸ ἓν τῶν ἕνδεκα.

πόστη μοῖρα τὸ ἓν τῶν δώδεκα; δωδεκάτη μοῖρα τὸ ἓν τῶν δώδεκα.

οὕτω δὴ τῷ αὐτῷ τρόπῳ λέγομεν περὶ τῶν ἄλλων

μοιρῶν· εἰσὶ δ' αὗται· τρισκαιδεκάτη, τετταρεσκαιδεκάτη, πεντεκαιδεκάτη, ἑκκαιδεκάτη, ἑπτακαιδεκάτη, ὀκτωκαιδεκάτη, ἐννεακαιδεκάτη, εἰκοστή. καὶ μετὰ ταῦτα· εἰκοστὴ πρώτη, εἰκοστὴ δευτέρα, εἰκοστὴ τρίτη, καὶ τὰ λοιπά. μετὰ ταῦτα δέ· τριακοστή, τριακοστὴ πρώτη, τριακοστὴ δευτέρα. λέγε δὲ σὺ τοὺς ἄλλους ἀριθμοὺς αὐτός. καὶ δὴ καὶ τετταρακοστή, τετταρακοστὴ πρώτη, τετταρακοστὴ δευτέρα, καὶ τὰ ἄλλα οὕτως. λοιπὰ δ' ἐστὶ ταῦτα· πεντηκοστή, ἑξηκοστή, ἑβδομηκοστή, ὀγδοηκοστή, ἐνενηκοστή, ἑκατοστή· καὶ δὴ καὶ διᾱκοσιοστή, τριᾱκοσιοστή, τετρᾰκοσιοστή, πεντᾰκοσιοστή, ἑξᾰκοσιοστή, ἑπτᾰκοσιοστή, ἐνᾰκοσιοστή, χιλιοστή, καὶ δισχιλιοστὴ μέχρι τῆς ἐνάκις χιλιοστῆς καὶ μυριοστῆς καὶ δισμυριοστῆς.

τῷ αὐτῷ τρόπῳ λέγομεν καὶ μόριον τρίτον, ἢ ἑκατοστόν, ἢ χιλιοστόν· σὺ δ' αὐτὸς οἷός τ' εἶ ταῦτα λέγειν καὶ ἄνευ ἐμοῦ, οὐ γὰρ δήπου μῶρος εἶ, ὦ μαθητά. λέγε οὖν ἐφεξῆς.

IV Λ

ΚΟΠΟΣ

οἴμοι, ὡς χαλεπὰ ταῦτα μανθάνειν. οὐ μὲν οὖν χαλεπά ἐστιν, ἀλλὰ ἐν ᾧ τὰ αὐτὰ ἐπαναλαμβάνομεν πολλάκις, κόπον ἔχομεν μέγιστον. φεῦ τοῦ κόπου. οἴμοι τοῦ κόπου τούτου. διὰ τί ὄχλον παρέχει τοσοῦτον ὁ ἀριθμός; κόπος κόπον λύει, ὥσπερ ἡ παροιμία λέγει· ἄλλος κόπος τελευτᾷ, ἰδοὺ ἄλλος, ἔργον ἐπ' ἔργῳ, ὄχλος ἐπ' ὄχλῳ. ἀλλ' οὕτω γὰρ κελεύουσιν οἱ θεοί· ἄνευ κόπου καὶ ἔργου οὐ δυνατόν ἐστιν ἀγαθὸν ἔχειν οὐδέν. καὶ δὴ καὶ μάλιστα παιδίοις πρέπει ταῦτα καὶ νέοις, ὥσπερ ἡ παροιμία λέγει·

ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ παλαιῶν.

τοῖς μὲν γὰρ νέοις τὴν ἡλικίαν πάρεστιν ἔργα ἀναγκαῖα· τοῖς δὲ μέσοις τὴν ἡλικίαν βουλαί, τοῖς δὲ παλαιοῖς εὐχαί. ἄνευ ἔργων οὐκ ἀκούουσιν οἱ θεοὶ τῶν νέων τὰς εὐχάς, ἀκούουσι δὲ τὰς εὐχὰς τῶν παλαιῶν, ἐπειδὴ οὐχ οἷοί τ' εἰσι ποιεῖν ἄλλο οὐδέν. θάρρει οὖν, ὦ φίλτατε· καλὸς γάρ ἐστιν ὁ τῶν ἔργων καρπός, εἰ μὴ νῦν γε, ἀλλὰ ὕστερόν ποτε. ὥστε ἀριθμοῦμεν αὖθις ἄσμενοι, καὶ γράφομεν τῷ ξύλῳ ἐπὶ τῆς γῆς, ἢ τῷ στύλῳ ἐπὶ τοῦ πινακίου, ἢ τῷ καλάμῳ ἐπὶ τῆς παπύρου· καὶ μανθάνομεν τὰ Ὁμηρικὰ καὶ λέγομέν τε καὶ ᾄδομεν.

IV M

ΤΑ ΑΥΤΑ

ἐσμὲν οὖν ἐν τῇ οἰκίᾳ πέντε ἄνθρωποι, ὅ τε Θράσυλλος καὶ ἡ Εὐρυδίκη, καὶ τὰ τρία παιδία, δύο μὲν ἀδελφοί, μία δὲ ἀδελφή. διδάσκει δ' ἡμᾶς ἀριθμεῖν ὁ διδάσκαλος ἡμῶν, ἀριθμοῦμεν δ' ἡμᾶς αὐτοὺς καθ' ἡμέραν, ἀριθμοῦμεν δὲ καὶ τὰ μόρια ἡμῶν. ἔχομεν γὰρ ἕκαστος μίαν κεφαλήν, ὥστε ὁμοῦ ἔχομεν πέντε κεφαλάς· ὀφθαλμοὺς δ' ἔχομεν ἕκαστος δύο, ὥστε δέκα ὁμοῦ ἔχομεν ὀφθαλμούς· δακτύλους δ' ἔχομεν ἕκαστος εἴκοσιν, ὥστε ἑκατὸν δακτύλους ἔχομεν ὁμοῦ. τὰ δ' ἄλλα μόρια ὕστερον.

διδάσκει δ' ἡμᾶς ὁ διδάσκαλος ᾄδειν καὶ λέγειν καὶ γράφειν· τῇ μὲν φωνῇ ᾄδομεν, τῇ δὲ γλώττῃ λέγομεν, γράφομεν δὲ καλάμῳ ἐν βιβλίοις.

V

ΤΑ ΜΕΤΕΩΡΑ

παρ' ἡμῖν ἄλλοτε μὲν λάμπει ὁ ἥλιος καὶ φέγγει ἡ σελήνη καὶ τὰ ἄστρα, ὥστε εὐδία ἐστίν, ἄλλοτε δὲ

ὕει καὶ ἀστράπτει καὶ βροντᾷ ἢ ἄνεμος πνεῖ λαβρός. ὥστε ῥεῖ πολὺς ὁ ποταμός, ἡμεῖς δὲ ἐν τούτῳ τῷ χρόνῳ καθίζομεν ἐν τῇ οἰκίᾳ καὶ ἀναμένομεν. χθὲς ἄνεμος ἦν λαβρότατος καὶ ὑετὸς καὶ ἀστραπὴ καὶ βροντή. ἡμεῖς δὲ ἐντὸς ἐκαθίζομεν. ἤστην δὲ δύο τινὲ φίλω παρ' ἡμῖν, ἔλεγεν δὲ ὁ ἕτερος, "ἰδού, ὡς ὁμοίω ἐστὸν τὼ ἀδελφώ· οὐ γὰρ σῦκον σύκῳ ὁμοιότερον." ὁ δὲ ἕτερος λέγει, "ἀλλ' οὐχ οὕτως ὅμοιός ἐστιν οὗτος ἐκείνῳ, ὡς ἐκεῖνος τούτῳ." οἱ δ' ἄλλοι ἐγέλασαν, ἐπειδὴ ἤκουσαν τοῦ ἀνθρώπου.

V A

ΑΣΤΡΑΠΗ

χθὲς ἤστραπτεν· ἡ δ' ἀστραπὴ μεγάλη ἦν καὶ φοβερά· ἦν δὲ πύελός τις ἐν τῇ αὐλῇ, ἐξ ἧς πυέλου οἱ χοῖροι τρώγουσιν· ἦν δ' ἐν τῇ πυέλῳ ὑετός, ὃς κατέπεσεν ἀπ' οὐρανοῦ. ἡ δ' ἀδελφὴ ἡ ἐμὴ εἶδεν ἐν τῇ πυέλῳ ὥσπερ τὴν ἀστραπήν, ἣ ἦν ἐν τῷ οὐρανῷ, καὶ φόβῳ ἐβόα. ἡ δὲ τροφὸς εἶπε, "θάρρει, φίλη κεφαλή. ἀστραπὴ ἐκ πυέλου οὐδὲν βλάπτει, κατὰ τὴν παροιμίαν." ἡ δ' ἐθάρρει εὐθύς. οἱ δὲ χοῖροι ὅμως ἐν φόβῳ ἦσαν· ἠγνόουν γὰρ ὅτι οὐδὲν βλάπτει ἡ ἐκ τῆς πυέλου ἀστραπή· καὶ ἐκοΐζον δεινῶς· ὥσπερ γὰρ βοῶμεν ἡμεῖς οἱ ἄνθρωποι, οὕτω καὶ κοΐζουσιν οἱ χοῖροι. ὅ τι δ' ἐν τῷ νῷ αὐτῶν ἔνεστιν, οὐ δῆλον ἔμοιγε, οὐδὲ δῆλον πότερον ἔχουσι νοῦν ἢ οὔ. συντρέχουσι γοῦν ἐν ᾧ ἡμεῖς καλοῦμεν, καὶ τρώγουσιν ὅσα ὁρῶσιν ἐν τῇ πυέλῳ· ὥστε οὐ δοκοῦσιν ἄνευ νοῦ εἶναι παντελῶς. τί γὰρ ἄλλο δυνατὰ ποιεῖν ἐστι τὰ παιδία τὰ μικρά; βοῶσιν, ἀκούουσιν, τρέχουσιν, ἐσθίουσι, πίνουσι· φωνοῦσι δ' οὔ. οὕτως δὴ ὅμοια τὰ παιδία τοῖς χοίροις.

VI

ΦΙΛΟΣΟΦΟΣ

ὁ ἀδελφός μου αἰεὶ κλαίει, ἐγὼ δὲ αἰεὶ γελῶ· ὥστε οἱ φίλοι καλοῦσιν ἐμὲ μὲν Δημόκριτον, ἐκεῖνον δὲ Ἡράκλειτον. οὗτοι γὰρ οἱ ἄνθρωποι φιλόσοφοι ἦσαν, διότι ἐφίλουν δὴ τὴν σοφίαν· ὁ δὲ Δημόκριτος ἐγέλα τοῖς ἀνθρώποις, διότι μῶροι δή εἰσιν, ὁ δ' Ἡράκλειτος ἔκλαιεν τὴν κακὴν τυχὴν αὐτῶν. ἐμοὶ μὲν δοκεῖ ἡ τυχὴ τῶν ἀνθρώπων οὐ πάνυ κακή, ὥστε γελῶ. ἔχω γὰρ ὑγίειαν καὶ ἰσχυρός εἰμί, ἔχω δὲ ἅλις σιτίων, οἰκῶ δ' ἐν καλῇ οἰκίᾳ· ἔστι γὰρ ἡμῖν, ὥσπερ λέγει ἡ παροιμία, ἀγαθῶν θάλαττα. ἐγὼ δὲ τοῦ ἀδελφοῦ γεραίτερός εἰμι, ὥστε οὐ τοσοῦτον ἔχει ὁ ἀδελφός, ὅσον ἐγώ· κλαίει διὰ τοῦτ' ἄρα. λέγω δὲ αὐτῷ, "θάρρει, ὦ ἄδελφε· ἀγαθὸν καὶ μᾶζα μετ' ἄρτον, κατὰ τὴν παροιμίαν." ὁ δέ φησιν, "ἄχρι κόρου σκώπτεις· σῖγα. τὰ δίκαια αἰτῶ, ἴσον ἔχειν σοι. ἐσμὲν γὰρ καὶ ἐγὼ καὶ σὺ υἱὼ τοῦ Θρασύλλου."

VI A

ΒΑΣΚΑΝΙΑ

εἰ δ' ὁ ἀδελφὸς ἔκλαυσε χθές, τήμερον ἐγὼ κλαίω· ἀλγῶ γὰρ τὴν κεφαλήν. καὶ μὴν ἡ τροφὸς λέγει εὐθύς, "ὦ φίλτατε, τί πάσχεις; τίς σ' ἐβάσκηνεν; ἀλλὰ φίλτρον γε εὑρήσω· μή, μή." καὶ δὴ καὶ ᾄδει ἐπῳδήν τινα, καὶ πτύει τρὶς ἐς τὸν κόλπον τὸν ἐμόν, καὶ κοιμᾷ με ἐπὶ κλίνης, καὶ κλῄει μοι τοὺς ὀφθαλμούς, καὶ λέγει· "ὦ φίλη κεφαλή, λέγω δὴ τῆς λύπης παραμύθιον. εἰσὶ γάρ τινες ἄνθρωποι οἳ βασκαίνουσι τοὺς ἄλλους· τοιούτους γὰρ ἔχουσιν ὀφθαλμούς, ὥστε βλέπουσι μὲν πρός τινα, ὁ δ' εὐθὺς ἀλγεῖ τὴν κεφαλήν· οὐδ' ἐστὶ φίλτρον οὐδὲν εἰ μὴ ᾠδή τις μυστική, οἵαν νῦν δὴ ᾖσά σοι ἐγώ."

VII

ΔΗΜΟΙ

τὸ χωρίον ἐν ᾧ οἰκοῦμεν ἐγώ τε καὶ οἱ ἄλλοι, ἐν Ἀχαρναῖς ἐστιν. αἱ δ' Ἀχαρναί εἰσι δῆμος τῶν Ἀθηνῶν. ἆρ' ἐρωτᾷς με, τί ποτ' ἐστὶ δῆμος; ἆρ' ἀγνοεῖς; λέγω δή. ἡ γῆ ἡ τῶν Ἀθηνῶν ἡ μέν ἐστι πεδίον, ἡ δὲ λόφοι. καὶ ἔν τε ταῖς Ἀθήναις καὶ ἐν τῷ πεδίῳ καὶ δὴ καὶ ἐν τοῖς λόφοις πολλοί εἰσι δῆμοι, ἃ μόριά ἐστι τῶν Ἀθηνῶν· τὰ δὲ τῶν Ἀθηνῶν μόρια τὰ μέν ἐστιν ἐν ταῖς Ἀθήναις αὐταῖς, τὰ δ' ἐν ταῖς κώμαις καὶ κατὰ τὸ πέδιον καὶ κατὰ τοὺς λόφους. πολλοὶ δ' εἰσὶν οἱ δῆμοι· ἕκαστος δ' ἄρχει αὐτὸς ἑαυτοῦ, αἱ δ' Ἀθῆναι κύριαί εἰσι τῶν δήμων, ὅσοι ὑπάρχουσιν. ὀνομάζομεν δὲ δημότας τοὺς ἐν ἑκάστῳ δήμῳ· οἱ δὲ δημόται ἄρχουσιν αὐτοὶ ἑαυτῶν. ὁ μὲν πρῶτος τῶν δημοτῶν δήμαρχός ἐστιν· ἐν ἑκάστῳ δὲ δήμῳ ταμιεύει ταμίας· ἔστι δὲ καὶ δημοτικὰ ἱερὰ καὶ ἱεροποιοί, καὶ πρυτανεῖον δημοτικὸν ἐν ᾧ ἐστιν ἑστία δημοτική. ἐν τοῖς ἱεροῖς ἱερὰ ποιοῦμεν τοῖς θεοῖς καὶ σέβομεν αὐτοὺς καὶ προσκυνοῦμεν· ἐν δὲ τῷ πρυτανείῳ δειπνοῦμεν ἐνίοτε.

VII A

ΑΧΑΡΝΑΙ

ἐνθένδε ἀπὸ τοῦ δήμου τῶν Ἀχαρνῶν ὁρῶμεν τὰς Ἀθήνας· αἱ δ' Ἀθῆναι μακρὰν ἄπεισιν τῶν Ἀχαρνῶν, στάδια ἑξήκοντα. ἔχομεν δὲ δημότας πολλούς, ὥστε ἔνεισιν ἐν ταῖς Ἀχαρναῖς τρισχίλιοι ὁπλῖται. ὁ δὲ ὁπλίτης τοι στρατιώτης ἐστίν, ὃς ὅπλα φέρει χαλκᾶ ἢ σιδηρᾶ. καὶ γὰρ οἱ πολῖται οἱ ἐν ἀγροῖς ἐν μὲν μάχῃ εἰσὶ στρατιῶται, ἐν δ' εἰρήνῃ ἐργάται. ὁ αὐτὸς οὖν ἄλλοτε μὲν ἐργάτης ἐστίν, ἄλλοτε δὲ στρατιώτης· καὶ

ἀμύνουσι τοὺς πολεμίους ταῖς τ' Ἀχαρναῖς καὶ ταῖς Ἀθηναῖς. ἡ δὲ γῆ ἡ ἡμετέρα καρποφόρος ἐστίν· φύει καὶ δένδρα καρποφόρα καὶ πυροὺς καὶ κρίθας· τὰ δ' ἄλλα δένδρα κατακόπτομεν, καὶ καίομεν. οὗτοί εἰσιν οἱ λόφοι οἳ περιέχουσι τὰς Ἀχαρνάς, καὶ ἐκεῖνά ἐστι τὰ δένδρα ἃ κατακόπτομέν τε καὶ καίομεν. ὁρᾷς δὲ καὶ κύκλῳ ἀγροὺς καὶ χωρία πολλά, ἐν οἷς ἡ γῆ φύει τὰ καρποφόρα δένδρα καὶ τὸν σῖτον. τὰ δὲ χωρία γεωργοῦσιν οἱ γεωργοί.

VIII

Ο ΜΩΡΟΣ

ἔστι τις μῶρος ἐν τῇ ἡμετέρᾳ κώμῃ, ὃν Κόβᾱλον ὀνομάζει τὰ παιδία· ὁ δὲ μῶρος μισεῖ τὰ παιδία. οὐκ ἔχει νοῦν ὁ μῶρος, ἡμεῖς δὲ τὰ παιδία ἔχομεν. χθὲς ἠρώτησέ τις αὐτόν· "ὦ Κόβαλε, πόσον χωρεῖ ἡ πεντακότυλος λήκυθος;" ὁ δ' ἔφη, "πότερον οἶνον λέγεις ἢ ἔλαιον;" καὶ ἐν ᾧ χρόνῳ ἐγελῶμεν, ἄλλος τις ἐρωτᾷ αὐτόν· "ὦ Κόβαλε σοφώτατε, ἆρα σιωπᾶν οἷός τ' εἶ;" οὔ φασι γὰρ οἵους τ' εἶναι σιωπᾶν τοὺς μώρους. ὁ δ' εἶπεν, "μάλιστά γε." ὁ δέ, "διὰ τί οὖν, ἔφη, οὐ σιωπᾷς;" ὁ δ' ἔφη, "καὶ δὴ σιωπῶ· τί μήν; σὺ δ', ὦ κάκιστε, λέγεις." "ἀλλὰ μήν, ἦ δ' ὅς, οἷός τ' εἰμὶ σιωπᾶν." καὶ ὁ μῶρος, "καὶ ἐγώ," φησίν. ὥστε τότε γοῦν ἔδοξεν εἶναι σοφὸς ὁ ἄνθρωπος ἀντὶ μώρου· τὸ δὲ παιδίον σιωπῶν μόλις, καὶ σοφὸς ἔδοξεν ἅμα καὶ μῶρος. ἆρ' οὐκ ἔστι θαυμάσιον τοῦτο; ἔμοιγε δοκεῖ.

VIII A

Ο ΜΩΡΟΣ ΜΑΛ' ΑΥΘΙΣ

οὐκ ἄρ' ἦν μῶρος ὁ μῶρος, ὅνπερ ὀνομάζομεν Κόβαλον, δοκεῖ γὰρ εἶναι οὐκ ἄνευ νοῦ. ἐπώλησε

γοῦν ὄνον τῷ Θρασύλλῳ, ὁ δ' ὄνος εὐθὺς ἀπέθανεν. καὶ ὁ Θράσυλλος ἀπαντήσας τῷ Κοβάλῳ, μετ' ὀργῆς λέγει, "ὦ μιαρέ, ἀπέθανεν ἤδη ὁ ὄνος ὃν σύ μοι ἐπώλησας." ὁ δ' εἶπεν, "φεῦ φεῦ· ἐν ᾧ παρ' ἐμοὶ ἦν, ὦ Θράσυλλε, οὐδὲν τοιοῦτον ἐποίησεν, οὐ μὰ τοὺς θεούς. ἀλλ', ὦ τάν, παθὼν μανθάνεις, ὥσπερ ἡ παροιμία." ὁ δὲ Θράσυλλος δι' ὀργῆς ὢν παίει αὐτόν, καὶ βοᾷ, "μανθάνεις ἄρα καὶ σύ, ὦ τάν, παθών." ὁ δὲ μῶρος, γελάσας, "ἀλλ', ἦ δ' ὅς, συγγνώμην ἔχε μοι· ἥμαρτον γὰρ πωλήσας σοι τοιοῦτον ὄνον, οἷος ἔμελλεν ἀποθανεῖν. ἀλλ' οὐ γὰρ εἶχον ἀθάνατον· εὑρήσω δ' ἀνύσας." εἰπὼν δὲ ταῦτα ἀπέδρα. ὁ δὲ Θράσυλλος ἔφη, "εἴθ' εὕροις, ὦ θαυμάσιε," καὶ ἀπῆλθεν οἴκαδε.

VIII B

ΠΟΛΕΜΟΣ

πολλάκις ἀγγέλλει ἡμῖν ἄγγελος, ὅτι πόλεμός ἐστι ταῖς τ' Ἀθήναις καὶ τῶν πολεμίων ἔστιν οἷς· ἔχομεν γὰρ πολλοὺς πανταχοῦ πολεμίους, τούς τ' ἐν τοῖς Μεγάροις καὶ τοὺς ἐν τῇ Αἰγίνῃ καὶ τοὺς ἐν τῇ Βοιωτίᾳ, πλὴν τῶν ἐν ταῖς Πλαταίαις· οἱ γὰρ τῶν Πλαταιῶν πολῖται φίλοι εἰσὶ καὶ σύμμαχοι πάλαι τοῖς Ἀθηναίοις. οὐδεὶς οὖν φόβος ἐστὶν ἡμῖν ἀπὸ τῶν Πλαταιῶν· ἀλλ' ἀπὸ τῆς ἄλλης Βοιωτίας καὶ ἀπὸ τῶν Μεγάρων καὶ ἀπὸ τῆς Αἰγίνης ἐστὶ φόβος αἰεί. οἱ δὲ μάλιστα πολέμιοι πάλαι εἰσίν τε καὶ ἦσαν οἱ Πέρσαι. οἰκοῦσί τοι ἐν Ἀσίᾳ οἱ Πέρσαι· καὶ δὴ καί ποτ' ἦλθον δεῦρο καὶ ὁ Δαρεῖος καὶ ὁ Ξέρξης· οὗτοι δ' ἦρχον τῶν Περσῶν. καὶ τὸν μὲν Δαρεῖον ἐνικήσαμεν· ὁ δὲ Ξέρξης πρῶτον μὲν ἐνίκησεν ἡμᾶς, ἔπειτα ἡμεῖς ἐνικήσαμεν τὸν Ξέρξην. περὶ τούτων δὲ ὕστερον λέξω σοι.



ὁπλίτης.



γεωργός.

VIII Γ

ΜΑΧΗ

νεωστὶ ἦλθεν ἄγγελος εἰς τὴν κώμην, ὃς εἶπεν, ὅτι οἱ Βοιωτοὶ εἰσέβαλον εἰς τὴν Ἀττικήν, μετὰ πεντακοσίων ὁπλιτῶν· φέρειν ἄγειν ἔφη τὰ ζῷα, καὶ τὰ ἄλλα, ὅσα ἔνεστιν ἐν τοῖς χωρίοις καὶ ταῖς κώμαις. παρεσκευάζομεν οὖν καὶ ἡμεῖς τοὺς ὁπλίτας· ἦσαν δὲ σχεδὸν δισχίλιοι, καὶ ἐπῆλθον δρόμῳ ἐπὶ τοὺς πολεμίους. μετὰ τρεῖς ἡμέρας κατῆλθον· πολλοὶ μὲν τραυματίαι ἦσαν, πολλοὶ δ' ἀπέθανον ἐν τῇ μάχῃ· ἀλλ' ἐνίκησαν τοὺς Βοιωτούς, καὶ ἀπέκτειναν τοὺς πολλούς, εἰς τετρακοσίους, τοὺς δ' ἑκατὸν ἐζώγρησαν. ἐπειδὴ δ' ἑωρῶμεν τοὺς πολεμίους, πολὺ ἐχαίρομεν· καὶ τῇ ὑστεραίᾳ ἐπωλοῦμεν τοὺς αἰχμαλώτους, ὥστε δοῦλοι ἦσαν. ταῦτα μὲν δὴ ποιοῦμεν τοὺς πολεμίους.

VIII Δ

ΡΑΨΩΙΔΟΣ

φοιτῶσι παρ' ἡμᾶς ἐνίοτε καὶ ῥαψῳδοί· οἱ δὲ ῥαψῳδοί τοι ἔχουσι λέγειν πάντα τὰ τοῦ Ὁμήρου ἄνευ βιβλίων. ἄλλοι τῶν ῥαψῳδῶν οὐχ ὁρῶσιν τὸν ἥλιον, ἀλλὰ τυφλοί εἰσιν· ὀφθαλμοὺς μὲν ἔχουσιν, ὡς δοκεῖ, ἀλλ' οὐχ ὁρῶσιν. διὰ ταῦτα οὐδὲν ἔργον ἐστὶν αὐτοῖς ἄλλο ἢ τὸ ῥαψῳδεῖν. ἔχουσι δὲ καὶ σκῆπτρα, οἷς παίουσι τὴν γῆν ἐν ᾧ χρόνῳ περιπατοῦσιν· οὐ γὰρ καλόν ἐστιν ἔρρειν ἐκ τῆς ὁδοῦ· καὶ βλέπουσιν οὐδέν. εἷς τις δὴ ῥαψῳδὸς ἑσπέρας πάρεστι. παίει τὴν θύραν τῷ σκήπτρῳ, καὶ βοᾷ· "τίς ἔνδον;" ὑπακούει τις τῶν οἰκετῶν, καὶ ἀνοίγει τὴν θύραν, καὶ ἐρωτᾷ, "τίς πόθεν εἶ σύ, καὶ τί ἐθέλεις;" ὁ δὲ λέγει πρὸς ταῦτα, "ἐγὼ μέν εἰμι ῥαψῳδός, καὶ ἐθέλω μένειν παρ' ὑμῖν τήμερον· σιτίων δεῖ μοι καὶ οἴνου καὶ ὕπνου· ἀνθ' ὧν ἀκούετέ μου,

ἐγὼ δὲ ῥαψῳδῶ τὰ Ὁμηρικά, ὅσα ἐθέλετε." πρὸς ταῦτα λέγει ὁ οἰκέτης, "κάθιζε δή, ὦ ξένε, καὶ ἔσθιε καὶ πῖνε ὅσα ἐθέλεις· ἔχομεν γὰρ ἅλις. καὶ μετὰ τὸ δεῖπνον ῥαψῴδει μὲν σύ, ἡμεῖς δὲ ἀκούομεν ἄσμενοι."

VIII Ε

ΠΛΟΥΤΟΣ ΚΑΙ ΠΕΝΙΑ

ἆρα φανερόν ἐστί σοι, ὅ τι μέν ἐστιν ὁ πλοῦτος, ὅ τι δ' ἡ πενία; ἀκούοις ἄν. ὅταν τις ἔχῃ ὅσα ἂν ἐθέλῃ, πλοῦτον ἔχει· ὅταν δὲ μὴ ἔχῃ ἅλις, πενία. πλούτου μὲν παρόντος τρυφῶσιν οἱ ἄνθρωποι, πενίας δὲ παρούσης ἰσχυροί εἰσιν. ἡ δὲ πενία τὰς τέχνας διδάσκει, κατὰ τὴν παροιμίαν· ἀντὶ γὰρ τοῦ τρυφᾶν καὶ ἀντὶ τοῦ ἡσυχάζειν, δεῖ τοὺς μὲν γεωργοὺς γεωργεῖν, τὰς δ' ἐν τῇ οἰκίᾳ τελεῖν τὰ ἔργα. οἱ μὲν οὖν ἀροῦσι τῷ ἀρότρῳ, καὶ σπείρουσι, καὶ ἀμῶσιν· αἱ δὲ λίνον ποιοῦσι κλώθουσαι ἔρια, καὶ ὑφαίνουσι, καὶ ῥάπτουσιν. ἡμεῖς δὲ τὰ παιδία μετέχομεν τούτων τῶν ἔργων, καὶ μοῖραν ἔχομεν· μανθάνομεν δὲ καὶ παίζομεν. πρὸς δὲ τούτοις ἀναβαίνομεν ἐφ' ἵππους καὶ ἱππεύομεν, καὶ διατρέχομεν. ἑσπέρας δὲ καθίζομεν παρ' ἑστίᾳ, καὶ ἡ τροφός, ἥτις παλαιά ἐστι τὴν ἡλικίαν, λέγει μύθους παλαιοτέρους ἑαυτῆς, ἡμεῖς δ' ἀκούομεν ἄσμενοι.

VIII Ζ

ΨΙΤΤΑΚΟΣ

φεῦ τῆς εὐτυχίας· ἔχω γὰρ δῶρον κάλλιστον. ἆρ' ἐρωτᾷς ὅ τι ἐστὶ τὸ δῶρον; ἄκουε δή, ἵνα συγχαίρῃς ἐμοί. ξένος μὲν γάρ τις ἦλθε, τρίτη ἡμέρα αὑτηΐ, φέρων ἐν οἰκίσκῳ θαυμάσιον ὀρνίθιον, θαυμασιώτατον μὲν οὖν. ἔστι γὰρ μέγα τὸ ὀρνίθιον, καὶ τὰ μὲν πράσινον, τὰ δὲ ξανθόν· ἔχει ῥύγχιον μέγα καὶ καμπύλον·

ἔχει δὲ καὶ μεγάλην τὴν φωνὴν καὶ ἀνθρωπίνην. οὐ πιστεύεις; τὰ ὄντα λέγω· ἀνθρωπίνη τῷ ὄντι ἡ φωνή, νὴ τοὺς θεούς. ἔφασκε δ' ὁ ξένος ψιττακὸν εἶναι τὸ ὀρνίθιον. φεῦ τῆς εὐφωνίας· λαλεῖ τὸ θηρίον ὡς ἄνθρωπος· τὰ ὄντα λέγω. ἄκουε, ἵνα πιστεύῃς. ἐπειδὴ γὰρ τάχιστα ἦλθεν ὁ ξένος, βοᾷ ὁ ψιττακός· "χαίρετε." ἡμᾶς δ' εὐθὺς φόβος κατέλαβεν· ὁ δ' εἶπεν, "οὐδεὶς φόβος, ὦ ἄνθρωποι· χαίρειν κελεύει ὑμᾶς ὁ ψιττακός, φίλος ὢν θεοῖς· οἱ γὰρ θεοὶ ἐποίησαν αὐτὸν λαλεῖν φωνῇ ἀνθρωπίνῃ." καὶ ὁ Θράσυλλος θαυμάζων εἶπε, "τί δὴ τοῦτ' ἐστίν, ὦ τάν; οὐ γὰρ ἠκούσαμεν ἡμεῖς οὐδέποτε ὀρνιθίου λαλοῦντος φωνῇ ἀνθρωπίνῃ. τί ἄλλο λέγει;" ὁ δὲ ξένος, "πολλά, ἦ δ' ὅς· πεινῶν γὰρ κελεύει σιτία φέρειν, διψῶν δὲ ποτὸν φέρειν κελεύει· μὴ φερόντων δ' ἡμῶν, λοιδορία ἐστὶ πολλή." ὁ δὲ Θράσυλλος ἐπῄνεσέ τε τὸν ψιττακὸν τῆς εὐφωνίας, καὶ εἶπεν· "ὦ ξένε, ἆρα πωλεῖς μοι τὸ ὀρνίθιον;" ὁ δέ, "καὶ μάλα, ἔφη, δέκα δραχμῶν." λαβὼν οὖν τὰς δέκα δραχμὰς ἀπῆλθε μὲν ἄσμενος, ἡμῖν δὲ κατέλιπε τὸν ψιττακόν, πολλὰ λαλοῦντα, οἷα τάδε· "ὦ κατάρατε, ποῖ φεύγεις; κάρυον, κάρυον, κάρυον· πεινῶ, πεινῶ· διψῶ, διψῶ· φερέτω τις κάρυον, φερέτω τις οἶνον. φεῦ τοῦ καταράτου ἀνθρώπου, φεῦ τοῦ πονήρου· ἄπαγε, ἄπαγε." ἡμεῖς δ' ἐθαυμάζομεν ἀκούοντες. ἐγὼ δ' εὐθὺς ἐποίησα τὸν ψιττακόν.[1]

IX

ΑΓΡΟΙΚΟΙ

πολλοὶ ἐργάται εἰσὶν ἐν τῷ χωρίῳ ἡμῶν, μισθὸν δὲ δίδωσιν αὐτοῖς ὁ δεσπότης. ἄλλος μὲν ἀρότης ἐστὶ καὶ ἀροῖ τὴν γῆν τῷ ἀρότρῳ· ἄλλος δὲ μακέλην ἔχων σκάπτει, ἢ δίκελλαν ἔχων στρέφει τὸν χόρτον· ἄλλος

[1] *ὅρα τὸ μέλος ἐν σελίδι ἑκατοστῇ εἰκοστῇ ἐνάτῃ.*

δ' ἀξίνῃ κατατέμνει τὰ δένδρα, ἢ συλλέγει φρυγανισμόν· ἄλλοι δὲ φυλάττουσι τὰ πρόβατα καὶ τὰ ἄλλα ζῷα. τοῖς μὲν προβάτοις οὐ δίδομεν τροφήν· αὐτὰ γὰρ αὑτοῖς εὑρίσκει ῥᾳδίως τὴν τροφὴν κατὰ τὸν νομόν· δίδομεν δὲ τοῖς ἵπποις καὶ τοῖς ὄνοις καὶ τοῖς ἡμιόνοις καὶ τοῖς χοίροις. τοῖς μὲν δὴ ἵπποις διδόασι κριθὰς καὶ χόρτον, τοῖς δὲ χοίροις διδόασι τὰ λείψανα τῆς ἀνθρωπίνης τροφῆς. ταῦτα δὲ τὰ λείψανα τιθέασιν ἐν πυέλοις, οἱ δὲ χοῖροι, κοΐζοντες καὶ γρυλλίζοντες καὶ λέγοντες γρῦ γρῦ, καθιᾶσι τὰ ῥύγχια εἰς τὰς πυέλους, καὶ τρώγουσιν ὅ τι ἂν ἐμβάλωμεν. ἡμεῖς δ' οὐχ οὕτως ἐσθίομεν, ἀλλὰ κατὰ κόσμον· εἰ δὲ μή, πληγὰς λαμβάνομεν. οὐδὲ λέγομεν γρῦ γρῦ.

IX A

ΓΕΩΡΓΟΣ

πότερον ἀγνοεῖς τί ἐστιν ἄροτρον καὶ τὰ λοιπά; νομίζω ἔγωγε· ὥστε λέγω δή. τὸ μὲν ἄροτρόν ἐστιν ὄργανον τοῦ γεωργοῦ, ᾧ ἀροῖ τὴν γῆν· ἀρῶν δὲ τὴν γῆν τί ποιεῖ; καθίησι μὲν τὸ κάτω τοῦ ἀρότρου, ὃ σιδηροῦν ἐστιν, εἰς τὴν γῆν· ἕλκει δὲ τὸ ἄροτρον ζῷόν τι, καὶ ὁ ἀρότης ἔχων τὴν ἐχέτλην ἐλαύνει τὸ ζῷον. οὕτως ἐλαύνει ὄγμὸν ἐν τῇ γῇ. μετὰ τοῦτο ἄλλος ἐλθὼν σπείρει τὸν σῖτον· τὸν δὲ σῖτον, ὅταν ᾖ ἐν ἀκμῇ, θερίζει θεριστής. τὸ δ' ὄργανον τοῦ θεριστοῦ δρέπανόν ἐστιν· ὅπερ ἐστί τοι μάχαιρά τις καμπύλη, ᾗ τέμνει τὸν σῖτον. τελευτῶντες δέ, ἐπειδὰν τάμωσι, δέουσι δεσμοῖς τοὺς καλάμους τοῦ σίτου, καὶ ἀποτιθέασιν ἐν ἀποθήκαις. μακέλη δ' ἄλλο ὄργανόν ἐστιν, ᾧ ὀρύττουσι σκάπτοντες, ὥστε φυτεύειν δένδρα καὶ ἄλλα τοιαῦτα ἐν τοῖς κήποις. ὅταν δὲ κατατέμνωσι τὰ δένδρα, ἀξίνην ἔχουσιν ὄργανον τοῦ κατατέμνειν. ταῖς δ' ἀξίναις καὶ φρυγανισμὸν κατατέμνουσιν, ὅς ἐστι ξύλα πρὸς τὸ καίειν.

IX B

ΠΙΘΗΚΟΣ

εἴδομεν τήμερον θαυμάσιόν τι, θαυμασιώτατον μὲν οὖν, οἷον οὐδεὶς πρότερον εἶδεν, ὡς νομίζω, οὐδεπώποτε. ἦλθε γὰρ ξένος τις Αἰγύπτιος, ὃς εἶχε ζῷον ὅμοιον μὲν ἀνθρώπῳ, μικρὸν δέ· φεῦ· ὡς ἐγελῶμεν ἰδόντες τὸ ζῷον. καὶ τοῦτο τὸ ζῷον ἔφασκεν εἶναι ὁ ξένος πίθηκον. οὗτος τοίνυν ὁ πίθηκος μικρότερος ἦν παιδίου καὶ πάνυ μικροῦ· εἶχε δὲ χλαῖναν μικράν, καὶ δὴ καὶ βλαύτας, καὶ πέτασον ἐπὶ τῆς κεφαλῆς. κόμας δ' εἶχεν ὁ πίθηκος κατὰ τὸ πρόσωπον ὅλον, καὶ ἔβλεπε δόλιον· ἔφασκε δ' ὁ ἄγων πολυμήχανόν τ' εἶναι, καὶ κλέπτην. ἵστησι δ' ὁ ἄγων τὸν πίθηκον ἐγγύς μου· ἐγὼ δὲ δίδωμι αὐτῷ κάρυον· ἰδού, τίθησι τὸ κάρυον ὁ πίθηκος μεταξὺ τῶν ὀδόντων, καὶ πιέζει τὸ κάρυον τοῖς ὀδοῦσιν, καὶ συνθραύει· τὸ μὲν ἔξω τοῦ καρύου ἀποβάλλει, τὸν δὲ κόκκον κατεσθίει ὥσπερ καὶ ἄνθρωπος. ἐπεὶ δ' ἔφαγε τάχιστα τὸν κόκκον, τίθημι παρ' αὐτῷ ποτήριον οἴνου· ὁ δὲ πίθηκος εὐθὺς λαβὼν τὸ ποτήριον πίνει τὸν οἶνον, καὶ τὸ ποτήριον καταβάλλει χαμαί. μετὰ ταῦτα τίθησι τὸν πέτασον χαμαὶ ὕπτιον, ὥστε τὸ κοῖλον τοῦ πετάσου ἄνω εἶναι· ἵνα δὴ εἰσβάλωμεν καὶ ἄλλα κάρυα. ἡμεῖς δὲ μόνον οὐκ ἐξεθάνομεν γελῶντες.

ἔπειτα μετὰ ταῦτα ἐρωτῶ τὸν ἄγοντα· "ποῖόν τι, ὦ ξένε, λέγεις τοῦτο τὸ ζῷον; θαυμασίως γὰρ ὡς ὅμοιόν ἐστιν ἀνθρώπῳ." ὁ δὲ ξένος, "καὶ μήν, φησίν, μιμηλότατόν γ' ἐστὶ τὸ ζῷον· καὶ ὅ τι ἂν ἐκδιδάξῃς, τοῦτο καὶ ποιεῖ ἀκριβῶς. χορεύει γοῦν, ἐὰν μάθῃ, καὶ αὐλεῖ, ἐὰν ἐκδιδάξῃς. ἐγὼ δὲ καὶ πίθηκον εἶδον ἡνίας κατέχοντα καὶ ἅμαξαν μικρὰν ἐλαύνοντα. ἔστιν ὅτε καὶ μὴ διδακτὸς ταὐτὰ ποιεῖ ἅπερ οἱ ἄνθρωποι. ἦν

γάρ τις τροφὸς ἐν Αἰγύπτῳ ἥτις ἔλουε παιδίον ἐν σκάφῃ. ἡ δὲ πρῶτον μὲν κατατίθησι τὴν σκάφην χαμαί· ἔπειτα δὲ λύει τὰ σπάργανα τοῦ παιδίου, εἶτα λούσασα τὸ παιδίον τίθησιν αὐτὸ ἐν τόπῳ τινὶ ἡσύχῳ, καὶ ἀποχωρεῖ. ὁ δὲ πίθηκος ἰδὼν ταῦτα, ἀποχωρησάσης τῆς τροφοῦ, εἰσθρώσκει εἰς τὴν οἰκίαν διά τινος θύρας· ὡς δ' εἶδεν ἐρημίαν οὖσαν ἐν τῇ οἰκίᾳ, αἴρει τὸ παιδίον ἐκ τῆς εὐνῆς, καὶ λύει τὰ σπάργανα ὥσπερ καὶ εἶδε τὴν τροφὸν λύουσαν· ἰδὼν δὲ σκάφην τινα ἣ ἔτυχε ζέουσα, κατατίθησι τὸ παιδίον εἰς τὴν σκάφην τὴν ζέουσαν, καὶ μέντοι καὶ ἀπέκτεινεν αὐτὸ κάκιστα."

πρὸς ταῦτ' ἐγώ, "φέρ' ἴδωμεν, φημί, ἔχομεν γὰρ καὶ ἡμεῖς παιδίον ἔνδον." ἡ δὲ τροφὸς εὐθὺς βοᾷ, "εὐφήμει, ὦ Θρασύμαχε, μὴ πλήγας λάβῃς." καὶ ἐγὼ μὲν ἐσιώπων· ὁ δὲ ξένος ἔλεγεν, "ἐὰν σύ, ὦ κάκιστε, οὕτως λέγεις περὶ τοῦ ἀδελφοῦ, ἴσως ἂν μεταλλάττοιεν τὴν μορφήν σοι οἱ θεοί, ὥστε πίθηκον σ' εἶναι αὐτόν." καὶ ἐγὼ ἐβόων, "φεῦ· μὴ γένοιτο τοῦτό γε· σκώπτων γὰρ ταῦτ' εἶπον." ὁ δ' ἔλεγε, "καὶ δὴ καὶ σκώπτοντες ἂν ποιοῖεν τοῦτο οἱ θεοί." μετὰ ταῦτα φόβος μ' εἶχε πολύς, μὴ οἱ θεοὶ ἀκούσαντες μεταλλάττοιέν μ' ὥστε πίθηκον εἶναι.

IX Γ

ΘΑΛΑΤΤΑ

ὅταν ᾖ γαλήνη, γελᾷ ἡ θάλαττα ὥσπερ προσκαλοῦσα ἡμᾶς· ἡμεῖς δὲ ἔστιν ὅτε καθέρπομεν πρὸς τὸν αἰγιαλόν, καὶ δὴ καὶ πλέομεν ἐν πλοίῳ. ἡμέρα ἕκτη αὕτη, καὶ κατήλθομεν πρὸς τὸν αἰγιαλόν· εὕρομεν δ' ἄνθρωπόν τινα καθίζοντα ἐπὶ πέτρου, ὃς μάλα σκυθρωπὸς ἐδόκει εἶναι. καὶ ἐγώ, "χαῖρε, ἔφην, ὦ τάν· διὰ τί σκυθρωπὸς ὢν προσβλέπεις οὕτω τὴν

θάλατταν; ἆρ᾽ οὐ γαλήνη;" ὁ δ᾽ ἔφη, "γαλήνη δή· ἀλλὰ διὰ τί; ὅτι σύκων ἐπιθυμεῖ ἡ θάλαττα." πρὸς ταῦτ᾽ ἐγώ, "ποίων σύκων, ὦ θαυμάσιε; τίς γὰρ δή ποτ᾽ ἤκουσε τὴν θάλατταν σύκων ἐπιθυμοῦσαν;" καὶ ὅς, "λέξω σοι, ἔφη, ἐὰν ἐθέλῃς ἀκούειν. ἐγὼ γὰρ πρὶν μὲν ἦν βουκόλος, καὶ εἶχον βοϊδίων ἀγελήν· ἀλλ᾽ οὐκ ἤρεσέ μοι τὸ βουκολεῖν· ἤθελον γὰρ πλουτεῖν ταχέως. ἐπώλησα οὖν τὰ βοΐδια καὶ ἠγόρασα σῦκα· πωλήσας δὲ τὰ βοΐδια, καὶ ἀγοράσας τὰ σῦκα, ἐπὶ πλοῖον ἐπιβαίνω ἔχων τὰ σῦκα, καὶ πλέω ἐπὶ Βυζαντίου, ἔμπορος δὴ ὤν. ἀλλ᾽ ἄνεμος μέγας ἔπνει, καὶ κατέδυσε τὸ πλοῖον, καὶ ἐναυάγησα· τὰ δὲ σῦκα φροῦδα ἦν ἤδη. λαβούσης δ᾽ τῆς θαλάττης τὰ σῦκα, πάλιν ἦν γαλήνη. ὥστε δοκεῖ μοι ἡ θάλαττα σύκων ἐπιθυμεῖν, ὅταν ᾖ γαλήνη." πρὸς ταῦτ᾽ ἐγώ, "σοφὸς μέν, ἔφην, ὁ Πίττακος καὶ οἱ ἄλλοι τῶν ἑπτά· σὺ δ᾽, ὦ μακάριε, σοφώτερος εἶ αὐτῶν." ὁ δ᾽ εἶπεν, "εἶεν δὴ σοφοὶ ἔμουγ᾽ ἕνεκα· εἰ γὰρ ἔχοιμι πάλιν τὰ σῦκα. χαλεπὸν ἄρα ἡ σοφία μετὰ πενίας· οἱ δὲ ἑπτὰ οὐ κατ᾽ ἐμὲ σοφοὶ ἦσάν που· καὶ γὰρ εἶχον σῦκα, ὅσα ἐθέλοιεν." καὶ μετὰ ταῦτα ἐσίγα, καὶ οὐκέτ᾽ ἤθελε λέγειν οὐδέν.

X

ΔΕΚΑΤΗ

δημοκρατία νῦν ἐστι τοῖς Ἀθηναίοις· ἄρχει γὰρ ὁ δῆμος ὁ Ἀθηναῖος αὐτὸς ἑαυτοῦ, καὶ ἔχει νόμους. ἀλλὰ πρὶν οὐκ ἦν δημοκρατία, καὶ νόμοι οὐκ ἦσαν δημοτικοί, ἀλλ᾽ οὓς ἐθέλοι τιθέναι ὁ τύραννος· ἦρχε γάρ τις τῶν Ἀθηνῶν τύραννος, ὃς ὠνομάζετο Πεισίστρατος· οὗτος δ᾽ ὁ τύραννος ἦρχεν ὡς καὶ ἤθελεν ἄρχειν τῶν πολιτῶν. ἐξέπραττε δὲ τὴν λεγομένην δεκάτην. αὕτη δ᾽ ἦν μέρος δέκατον τῶν καρπῶν τῆς

γῆς. τοὺς γεωργοὺς οὖν ἔδει τὴν δεκάτην τῶν γιγνομένων ἀποδιδόναι τῷ τυράννῳ. ταύτην δ' ἐξέπραττεν ὁ Πεισίστρατος *δυοῖν ἕνεκα· πρῶτον μέν, ἵνα μὴ ἐν ταῖς* Ἀθήναις *διατρίβοιεν, ἀλλὰ πανταχοῦ κατὰ χώραν· ἔπειτα, ἵνα εὐπορῶσι μετρίως, καὶ μὴ ἔχοιεν σχολήν, ὥστε πράγματα παρέχειν ἑαυτῷ καὶ ὄχλον. ὁ δὲ τύραννος πολλάκις ἐπορεύετο κατὰ τὰ χωρία, ἐπισκοπῶν τίς μὲν εὖ ἐργάζεται, τίς δὲ κακῶς, καὶ πότερον δικαίως ἀποδιδόασι τὴν δεκάτην.*

ἦν δέ τις γεωργῶν ποτε, ὡς ἀκοῇ ἤκουσα, ἐν τῷ Ὑμηττῷ· *ἔστι δ' ὁ* Ὑμηττὸς *λόφος τῆς* Ἀττικῆς, *πλήρης μὲν πετρῶν, ἔχων δ' οὐ καλὴν γῆν. ὁ δὲ γεωργὸς ἠργάζετο ὅμως, καθ' ὅσον οἷός τ' ἦν. καὶ ἐλθὼν ὁ* Πεισίστρατος *ἑώρα τὸν ἄνθρωπον σκάπτοντα τὰς πέτρας καὶ ἐργαζόμενον· θαυμάσας δὲ ἠρώτα, τί γίγνεται ἐκ τοῦ χωρίου; ὁ δὲ γεωργός, "οὐδὲν ἄλλο, φησίν, ἢ κακὰ καὶ ὀδύναι· καὶ τούτων τῶν κακῶν καὶ ὀδυνῶν δεῖ τὸν* Πεισίστρατον *λαβεῖν τὴν δεκάτην." ὁ μὲν οὖν ἄνθρωπος ἔλεγε ταῦτ', ἀγνοῶν ὅτι πάρεστιν ὁ* Πεισίστρατος· *ὁ δὲ* Πεισίστρατος *ἀκούων ἐγέλασε, καὶ ἐπῄνει τὴν φιλεργίαν αὐτοῦ· καὶ δὴ καὶ ἐποίησεν ἀτελὲς τὸ χωρίον καὶ ἐλεύθερον τῆς δεκάτης.*

XI

ΝΟΜΙΣΜΑ


τὸ νόμισμα τὸ Ἀττικὸν *τοιόνδ' ἐστίν. χρώμεθα ἀργυροῖς νομίσμασι, οὐ χρυσοῖς οὐδὲ χαλκοῖς. τὸ μὲν τάλαντον οὔκ ἐστι νόμισμα, ἀλλὰ βάρος τι ἀργυρίου ἔχον ἑξήκοντα μνᾶς· ἡ δὲ μνᾶ καὶ αὐτὴ βάρος, ἔχει δὲ δραχμὰς ἑκατόν· ἡ δὲ δραχμὴ ἤδη νόμισμα, καὶ δὴ καὶ χρώμεθα διδράχμοις καὶ τετραδράχμοις καὶ δεκαδράχμοις· ἔχει δὲ τὸ δίδραχμον δύο*




1 δραχμή 2

1. κεφαλὴ Ἀθηνᾶς

2. γλαῦξ καὶ φύλλον ἐλαιᾶς. ΑΘΕναίων




δραχμὴ Αἰγιναία




δραχμὴ Κορινθία




ὀβολός




διώβολον




τριώβολον




τριτήμοριον

δραχμάς, καὶ τἄλλα κατὰ λόγον. ἡ δὲ δραχμὴ ὀβολοὺς ἔχει ἕξ· πρὸς δὲ χρώμεθα διωβόλῳ καὶ τριωβόλῳ. ἔστι δὲ καὶ τριτημόριον, μέρος ὂν τρίτον τοῦ ὀβολοῦ, καὶ τεταρτημόριον. ἡ οὖν δραχμὴ τῆς μὲν μνᾶς ἑκατοστόν ἐστι μέρος, ἡ δὲ μνᾶ τοῦ ταλάντου μέρος ἑξηκοστόν, τοῦ δὲ ταλάντου ἡ δραχμὴ ἑξακισχιλιοστὸν ἤδη μέρος.

καὶ μὴν χαρακτὴρ ἔπεστιν ἐπὶ τῆς δραχμῆς, ἑτέρωθεν μὲν κεφαλὴ Ἀθήνης, ἑτέρωθεν δὲ γλαῦξ, ἱερὰ οὖσα Ἀθήνῃ. καὶ ἐπὶ τῶν κερμάτων (κέρματα δ' ἔστι τὰ μικρά) φύλλον ἐλαίας.

ταῦτ' ἐστὶ τὰ νομίσματα τὰ Ἀθηναῖα. καὶ ἡ μὲν Ἀθηναία δραχμὴ γλαῦξ ὀνομάζεται, ἡ δ' Αἰγιναία χελώνη, ἡ δ' αὖ Κορινθία ἵππος, ἑκάστη κατὰ τὸν χαρακτῆρα τὸν ἐπόντα.

XII

ΑΚΡΟΠΟΛΙΣ

φαίνεται καὶ ἐνθένδε ἡ πόλις ἡ τῶν Ἀθηναίων· λέγω δὲ τὴν ἀκρόπολιν· ἡ γὰρ ἀκρόπολις πέτρα ἐστὶν ἐν μέσῃ τῇ πόλει, καὶ ἐπὶ τῆς ἀκροπόλεως ναοί εἰσι πολλοί, τῆς τ' Ἀθήνης καὶ τῶν ἄλλων θεῶν. ἦν μὲν τὸ πάλαι δῶμα βασιλικὸν ἐπὶ τῆς ἀκροπόλεως· νῦν δὲ δημοκρατίας οὔσης ἐπαύσατο μὲν βασιλικὸν ὂν τὸ δῶμα, οὐκέτι μὲν οὖν ἔστι δῶμα· ἀλλὰ ναοὶ ἔνεισιν ἀντὶ τούτου. ἔστι μὲν ναὸς τῆς Ἀθήνης μέγιστος καὶ κάλλιστος, ἔστι δὲ τῆς Νίκης, εἰσὶ δὲ καὶ ἄλλων θεῶν, ὧν τὰ ὀνόματα διηγήσομαι ὕστερον, ὅταν μάθῃς κάλλιον τὴν ἡμετέραν γλῶτταν. οὐ γὰρ ῥᾴδιον διηγεῖσθαι τῷ μὴ ἔχοντι ἐπιστήμην. περιέχει δὲ τὴν ἀκρόπολιν τείχη, ἅπερ μετὰ σπουδῆς ᾠκοδόμησαν εὐθὺς μετὰ τὰ Μηδικά· ἴδοις δ' ἂν ἐν μέσοις τοῖς τείχεσιν καὶ ἐρείπια

ἀρχαίων ναῶν καὶ στήλας τῶν ἀποθανόντων. ὕψος δ' ἔχει τὰ τείχη πήχεις μάλιστα τριάκοντα.

XIII

ΤΑ ΤΕΙΧΗ

ᾠκοδομήθη δὲ τὰ τείχη ὧδε. ὁ μὲν Ξέρξης ἀπῆλθεν μετὰ τῶν Μήδων, αἱ δ' Ἀθῆναι κατεκάησαν καὶ ἡ ἀκρόπολις· συνεβούλευε δ' ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις οἰκοδομεῖν ὡς τάχιστα τὰ τείχη, τά τε τῶν Ἀθηνῶν καὶ τὰ τῆς ἀκροπόλεως. ἀλλὰ ἐφθόνουν τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι, καὶ ἐφοβοῦντο μὴ αὐξάνωνται λίαν αἱ Ἀθῆναι· ὥστε ἐκέλευον μὴ οἰκοδομεῖν. ὁ Θεμιστοκλῆς οὖν ἦλθε πρέσβυς εἰς Σπάρτην, τρίτος αὐτός, μετὰ ἄλλων πρέσβεων δυοῖν, κελεύσας τοὺς Ἀθηναίους ὡς τάχιστα οἰκοδομεῖν. καὶ ἐν ᾧ διέτριβε χρόνον ἐν Σπάρτῃ, ἤγγειλέ τις τοῖς Λακεδαιμονίοις οἰκοδομεῖν ἔτι τοὺς ἐν ταῖς Ἀθήναις. πρὸς ταῦθ' ὁ Θεμιστοκλῆς οὐκ ἔφη οἰκοδομεῖν· ἐκέλευε δ', εἰ μὴ πιστεύοιεν, πέμπειν πρέσβεις καὶ αὐτούς. ἔπεμψαν οὖν οἱ Λακεδαιμόνιοι πρέσβεις Ἀθήναζε· καὶ ὡς τάχιστα ἀφίκοντο, φανερῶς ἤδη ἔλεγεν ὁ Θεμιστοκλῆς ἀληθῆ εἶναι τὰ λεγόμενα, καὶ οἰκοδομηθῆναι ἤδη τὰ τείχη. οἱ δὲ Λακεδαιμόνιοι, φοβούμενοι μὴ οἱ ἑαυτῶν πρέσβεις πάθωσί τι, ἀνάγκῃ ἀφίεσαν τοὺς Ἀθηναίους πρέσβεις. διὰ ταῦτα ἐχρῶντο οἱ Ἀθηναῖοι καὶ στήλαις καὶ ἐρειπίοις, κατὰ σπουδὴν οἰκοδομοῦντες.

XIII A

Ο ΜΩΡΟΣ

ἴσθι σοφὸν δὴ ὄντα τὸν μῶρον τὸν παρ' ἡμῖν· ἄκουε γάρ. ἐπύρεττε μὲν ὁ μῶρος· καὶ κατακλιθεὶς ἐπὶ κλίνης μεγάλῃ τῇ φωνῇ ἐβόα. μετεπέμψατο δ'



τείχη ἀκροπόλεως.

ἰατρόν, ἵνα σωθείη· ὁ δ' ἰατρὸς ἐλθών, καὶ ψαυσάμενος αὐτοῦ, "οἴμοι, ἔφη, κακῶς πυρέττεις." ὁ δὲ μῶρος τοῦτ' ἀκούσας ὠργίσθη, καὶ εἶπεν· "εὐφήμει, ὦ ἄνθρωπε· οὐ γάρ σε μετεπεμψάμην ἵνα λοιδορηθείης μοι. εἰ δὲ σὺ ἄμεινον πυρέττειν οἷός τ' εἶ, ἰδοὺ κλίνη· κατακλιθεὶς πύρεττε." μετὰ ταῦτα λέγει τις τῶν παρόντων, "τί δεῖ ἰατρῶν; σεμνοὶ φαίνονται, πολλὰ λέγουσι, μισθὸν αἰτοῦσιν· ἄμεινον πλεῖν ἐπὶ τὸ Ἀσκληπίειον τὸ ἐν Ἐπιδαύρῳ." περὶ δὲ τοῦ Ἀσκληπιείου ὕστερον διηγήσομαι.

XIV

ΠΛΟΙΑ

πρέπει νῦν δή, πρὶν πόρρω ἰέναι τοῦ λόγου, διεξιέναι τά τε γένη τῶν πλοίων, ὁποῖά ἐστι, καὶ δὴ καὶ τὰ μέρη αὐτῶν καὶ τὰ σκεύη. δύο μέν ἐστι γένει νεῶν, αἵ τε μακραὶ νῆες καὶ αἱ στρογγύλαι· μακραὶ δ' εἰσὶν αἱ πολεμικαί, στρογγύλαι δ' αἱ φορτικαί. τῶν δὲ πολεμικῶν νεῶν αἱ μέγισταί τε καὶ ἰσχυρόταται τριήρεις, αἵτινες ἔχουσι καὶ ἱστοὺς καὶ ἱστία καὶ τρεῖς στίχους κωπῶν. ὀνομάζονται δὲ καὶ ἑκατόντοροι αἱ ἑκατὸν ἔχουσαι κώπας, καὶ πεντηκόντοροι καὶ τριακόντοροι καὶ εἰκόσοροι, κατὰ τὸν ἀριθμὸν τῶν κωπῶν. ἀκολουθοῦσι δὲ ταῖς τριήρεσιν ἐν πολέμῳ ἄλλαι νῆες ὁπλιταγωγοί, αἵτινες ἄγουσι τοὺς ὁπλίτας, καὶ σιταγωγοί, καὶ ἱππαγωγοί.

αἱ δὲ στρογγύλαι νῆες φορτηγοί εἰσιν, αἵτινες ἄγουσιν οἶνον καὶ σῖτον καὶ δέρματα καὶ ἄλλα πρὸς ἐμπορίαν.

μικρὰ δ' ἐστὶν τὰ ἀκάτια.

XIV A

ΜΕΡΗ ΝΕΩΣ

ἔστι δὲ τὰ μέρη τῆς νεὼς τοιάδε.

τὸ μὲν σκάφος ἐστὶν ἡ ναῦς ὅλη πλὴν ἱστοῦ καὶ ἱστίου καὶ ὅπλων, τὸ δ᾿ κάτωθεν ὀνομάζουσιν ἔδαφος ἢ κοίλην ναῦν. ἀντλία δ᾿ ἐστὶν ἐν τῇ κοίλῃ νηί. πρῷρα δὲ τὸ ἔμπροσθεν μέρος καλεῖται, πρύμνα δὲ τὸ ὄπισθεν, ἐνίαις δ᾿ ἐστὶ κατάστρωμα μεταξὺ τούτων.


ἱστὸς δὲ ὑπάρχει ταῖς μὲν τῶν νεῶν εἷς, ταῖς δὲ δύο. καλοῦνται δὲ ὁ μὲν μέγας ἱστὸς ἀκάτειος, ὁ δ᾿ ὄπισθεν ἐπίδρομος. ὁ δ᾿ ἱστὸς ἔχει καὶ ξύλον τι ἐγκάρσιον, τὴν κεραίαν καλουμένην, ἐξ ἧς ἅπτεται τὸ ἱστίον. καὶ κατέχουσι τὸν ἱστὸν μὴ καταπεσεῖν οἱ πρότονοι, ὁ μὲν ἐκ τοῦ δεξιοῦ τοίχου ὁ δ᾿ ἐκ τοῦ ἀριστεροῦ· δεῖται δ᾿ ἡ ναῦς ἐκ τῆς γῆς κάλῳς ἢ πείσμασιν ἢ πρυμνησίοις· τροχὸς δὲ μηχανή ἐστι ᾗπερ καθέλκουσι καὶ ἀνέλκουσι τοὺς κάλως. ἄγκυραι δ᾿ εἰσὶν ἄλλαι τε καὶ ἡ καλουμένη ἱερά, ᾗ χωρὶς ἀνάγκης οὐ χρῶνται. οἱ δὲ ναῦται ἐκβαίνουσι τῇ ἀποβάθρᾳ.

XIV B

ΠΛΗΡΩΜΑ

οἱ δ᾿ ἐμπλέοντες ναῦταί εἰσιν ἅπαντες· ὧν ὁ μὲν ἄρχων ναύκληρος ἢ ναύαρχος ἢ τριήραρχος, ὁ δὲ κυβερνῶν κυβερνήτης, οἱ δ᾿ ἐρέττοντες ἐρέται.

ὁ μὲν κυβερνήτης κυβερνᾷ τὴν ναῦν ἔχων τὰ πηδάλια, οἱ δ᾿ ἐρέττοντες ἐρέττουσιν ἔχοντες κώπας. ἤρεττον δὲ τὴν τριήρη κάτωθεν μὲν οἱ θαλάμιοι ἐν τῇ κοίλῃ νηΐ, ᾗπερ καὶ θάλαμος ἐκαλεῖτο, οἱ δὲ ζυγῖται ἐν τῷ μέσῳ, ὅπερ καὶ ζυγὸν ἐκαλεῖτο, οἱ δὲ θρανῖται ἐπὶ τῷ καταστρώματι, ὅπερ καὶ θρᾶνος ἐκαλεῖτο. οἱ δ᾿ ἐπιβάται μάχονται. καὶ οἱ σύμπαντες πληροῦσι τὴν ναῦν, καὶ λέγονται πλήρωμα.



ναῦς.



ἄροτρον.

(From a photo by Mr. A. F. S. Gow.)

XIV Γ

ΚΟΧΛΟΣ

ἤκουσας δήπου λέγοντος ἐμοῦ τὰ περὶ τοῦ μώρου, ὃν Κόβαλον ὀνομάζουσιν· ἀλλ' οὐκ ἄρα μῶρος ἦν οὗτος· τεκμήριον γὰρ ἐκεῖνο, ὃ ἐποίησε, τρίτη ἡμέρα αὑτηΐ. ἐθεώμεθα μὲν ἡμεῖς οἱ παῖδες τοὺς κόχλους τοὺς ἕρποντας ἔνθα καὶ ἔνθα· καὶ ἐθαυμάζομεν, οἵους εἶχον τοὺς στρόμβους· ὁ δὲ στρόμβος τοι οἶκός ἐστιν ἐν ᾧ οἰκεῖ μὲν ὁ κόχλος, φέρει δὲ τὸν οἶκον ἐφ' ἑαυτῷ αἰεί· ὥστε παίζοντες ὀνομάζομεν φερεοίκους τοὺς κόχλους. εὑρὼν οὖν ὁ Κόβαλος στρόμβον τινὰ κενόν, ἐρωτᾷ, "τίς οἷός τ' ἐστὶ λίνον διαίρειν διὰ τοῦ κόχλου;" ἀλλ' οὐδεὶς ἡμῶν ἐδύνατο ποιεῖν τοῦτο. ὁ δ' οὖν λαβὼν μύρμηκα, καὶ ἐξάψας τοῦ μύρμηκος τὸ λίνον, εἶτα τρήσας τὸ ἄκρον τοῦ κόχλου, εἴασε τὸν μύρμηκα εἰσελθεῖν· εἰσελθὼν δ' ὁ μύρμηξ ἕλκει τὸ λίνον· καὶ μετ' ὀλίγον ἐξῆλθεν ἐκ τοῦ τρήματος. ὥστε πάλιν σοφὸς ἐφαίνετο ὢν ὁ μῶρος ὁ παρ' ἡμῖν.

XIV Δ

ΤΟΥ ΣΩΜΑΤΟΣ ΤΑ ΜΕΡΗ

τάδ' ἐστὶ τὰ μέρη τοῦ σώματος. πρῶτον μὲν ἄνω ἐστὶν ἡ κεφαλή· ἐπὶ δὲ τῆς κεφαλῆς αἱ τρίχες φύονται, αἵπερ καὶ κόμη ὀνομάζονται. καὶ τοῖς μὲν νεανίαις ἑκατέρωθεν τρίχες εἰσὶ παρὰ τοὺς κροτάφους, οἱ λεγόμενοι ἴουλοι. ὁρῶμεν τοῖς ὀφθαλμοῖς, ἀκούομεν τοῖς ὠσίν· ὥστε τοῦ μὲν ὁρᾶν ὄργανον ὁ ὀφθαλμός, τοῦ δ' ἀκούειν τὸ οὖς· τὸ δ' ὁρᾶν λέγομεν ὄψιν, καὶ τὸ ἀκούειν ἀκοήν. τὰ σκεπάζοντα τοὺς ὀφθαλμούς ἐστι βλέφαρα, αἱ δ' τρίχες αἱ ὑπὲρ τῶν ὀφθαλμῶν

κείμεναι ὀφρύες. καὶ ὑπὲρ μὲν τῶν ὀφθαλμῶν ἐστι τὸ μέτωπον, ὑπὸ δ’ αὐτῶν καὶ ἡ ῥὶς καὶ ἑκατέρωθεν παρειαί, αἷσπερ ἐρυθριῶμεν. ὕπεστι δὲ τὸ στόμα· αὕτη δὲ τομή, ἔχουσα δύο χείλη· ἐν δὲ τῷ στόματι ἥ τε γλῶττα καὶ οἱ ὀδόντες· τὰ μὲν περιέχοντα τοὺς ὀδόντας σαρκία, οὖλά ἐστιν, τὰ δ’ ὀστᾶ ἐν οἷς ἐμπεφυκότες εἰσὶν οἱ ὀδόντες, αἱ γνάθοι. τὸ δὲ γένειον κάτω ἐστὶ τοῦ στόματος, καὶ ἡ ἐπὶ τοῦ γενείου φυομένη θρὶξ καλεῖται πώγων. ἅπαντα τὰ ἔμπροσθεν τῆς κεφαλῆς καλεῖται πρόσωπον.

ἵσταται δ’ ἡ κεφαλὴ ἐπὶ τοῦ τραχήλου. ὑποκεῖνται δὲ τοῦ τραχήλου οἱ ὦμοι ἑκατέρωθε· τὰ δ’ ὀστᾶ τὰ ἐν ὤμοις, κλῇδες. καὶ τὸ μὲν ὄπισθε μέρος τὸ ὑπὸ τῶν ὤμων νῶτον λέγεται, ἐφ’ οὗ τὸ μετάφρενον· τὸ δ’ ἔμπροσθε μέρος, στῆθος. οἱ δ’ ὦμοί εἰσιν αἱ κεφαλαὶ τῶν βραχιόνων· καὶ οὕτως ἐφεξῆς, βραχίων, πῆχυς, χείρ. τὸ δ’ ἄρθρον βραχίονός τε καὶ πήχεως, ἀγκὼν ἢ ὠλένη· τὸ δ’ ἄρθρον πήχεώς τε καὶ χειρός, καρπός. καὶ ἐν χειρὶ ἑκατέρᾳ πέντε δάκτυλοι, ὧν ὁ μὲν ἀφεστηκὼς τῶν ἄλλων μέγας δάκτυλος καλεῖται, οἱ δ’ ἐφεξῆς, λιχανὸς ὁ πρῶτος τῶν τεττάρων, εἶτα μέσος, παράμεσος, μικρός. ἐπ’ ἄκροις δὲ τοῖς δακτύλοις εἰσὶν αἱ ὄνυχες.

τοῦ σώματος δ’ ἑκατέρωθέν ἐστι πλευρά· πλευραὶ δὲ καὶ τὰ ὀστᾶ καλεῖται. ἐν μέσῳ δ’ ἡ γαστήρ, εἰς ἣν καθίεται τὰ σιτία.

καὶ κάτω τῆς γαστρὸς δύο σκέλη ὑπόκειται· τοῦ δὲ σκέλους τὰ μέρη τοσάδε, μηρός, κνήμη, πούς· τὸ δ’ ἄρθρον μηροῦ τε καὶ κνήμης, γόνυ· κνήμης τε καὶ ποδός, σφυρόν. καὶ ἐφ’ ἑκατέρου ποδὸς πέντε δάκτυλοι.

ταῦτ’ ἐστὶ τὰ μέρη μάλιστα τοῦ σώματος.

XV

ΠΛΟΥΣ

χθὲς κατήλθομεν ἐς τὴν θάλατταν, ἥτις ἄπεστιν ὀγδοήκοντα μάλιστα στάδια ἀπὸ τῆς κώμης ἐν ᾗ οἰκῶ. κατελθόντες δὲ εὐθὺς ἑώρωμεν πλοῖόν τι ἕτοιμον ἐπὶ τῷ ὅρμῳ. ναῦται δ' ἐνῆσαν ἐν τῷ πλοίῳ ἑπτά, ὧν οἱ μὲν δύο μετεχείριζον τὰ ὅπλα τοῦ πλοίου, ὁ δ' εἷς κυβερνήτης ὢν ἐκυβέρνα, ἔχων τὰ πηδάλια, οἱ δ' ἄλλοι ναῦται. ἰδόντες δὲ τὸ πλοῖον εἰσέβημεν. ὡς δ' ἔδοξεν οὔριος εἶναι πρὸς ἀναγωγὴν ὁ ἄνεμος, θόρυβος ἦν εὐθὺς κατὰ τὸ πλοῖον, τῶν τε ναυτῶν διαθεόντων καὶ τοῦ κυβερνήτου κελεύοντος καὶ ἑλκομένων τῶν κάλων· καὶ εὐθὺς ἡ κεραία περιήγετο, τὸ ἱστίον καθίετο, τὸ πλοῖον μετέωρον ἦν, τὰς ἀγκύρας ἀνέσπων, ὁ ὅρμος κατελείπετο· τὴν γῆν ὁρῶμεν ἀπὸ τοῦ πλοίου κατὰ μικρὸν ἀναχωροῦσαν, ὥσπερ αὐτὴν πλέουσαν. παιανισμὸς δ' ἦν καὶ εὐχή, θεοὺς δ' ἐκάλουν εὐφημοῦντες αἴσιον τὸν πλοῦν γενέσθαι· ὁ δ' ἄνεμος ἔπνει σφοδρότερον, καὶ τὸ ἱστίον ἐκυρτοῦτο, καὶ ἔτρεχε τὸ πλοῖον ἤδη.

XV A

ΔΕΙΠΝΟΝ

ἀναγόμενοι οὖν τὴν ναῦν ἐπλέομεν. καὶ πρῶτον μὲν οὔριος ἦν ἄνεμος, καὶ ἔτρεχεν ἡ ναῦς ἤδη· ἀλλὰ μετ' οὐ πολὺν χρόνον ἐκοπίασεν ὁ ἄνεμος καὶ γαλήνη ἦν, ὥστε ἐρέττειν ἔδοξε· καὶ ἤρεττον σφόδρα. καὶ μὴν οἷον εἰώθασι ναῦται δρᾶν εἰς καμάτων ἀμέλειαν, τοῦτο κἀκεῖνοι δρῶντες τὰς κώπας ἀνέφερον. εἷς μὲν γὰρ αὐτοῖς, κελευστὴς ὤν, ναυτικὰς ᾔδεν ᾠδάς, οἱ δὲ λοιποὶ ὥσπερ χορὸς ὁμοφώνως κατὰ καιρὸν τῆς ἐκείνου φωνῆς ἐβόων. ἐν ᾧ δὲ ταῦτα

ἔπραττεν, πολλὴ μὲν ἦν βοή, σαφῆ δ' ἐξέπιπτεν εἰς τὴν γῆν τὰ ᾄσματα. μετ' ὀλίγον δὲ κατήλθομεν εἰς Σαλαμῖνα, οἷπερ καὶ ἠθέλομεν. ἀλλ' ἐπειδὴ ἐντὸς τοῦ λιμένος ἀφίκοντο, τὰ μὲν ἱστία ἐστείλαντο καὶ κατέθεσαν ἐν τῇ νηΐ, τὸν δ' ἱστὸν εἰς τὴν ἱστοδόκην καθίεσαν τοῖς προτόνοις ὑφέντες, τὴν δὲ ναῦν εἰς ὅρμον προήρεττον τοῖς ἐρετμοῖς, τὰς δ' ἀγκύρας ἐξέβαλον, κατέδησαν δὲ τὰ πρυμνήσια· αὐτοὶ δ' ἐξέβαινον ἐπ' ἀκτήν. καὶ ἐπειδὴ τάχιστα ἐξέβημεν ἐκ τῆς νεώς, ὁ πατὴρ μετὰ τῶν ἄλλων παρεσκευάζετο δεῖπνον. πρῶτον μὲν πῦρ ἔκαιε, μετὰ ταῦτα κατέβαλε μέγαν πίνακα ἐγγὺς τοῦ πυρός, καὶ ἐπὶ τοῦ πίνακος κατέθηκεν νῶτον αἰγὸς καὶ ῥάχιν συός, καὶ ἔτεμνε μαχαίρᾳ. καὶ τὰ μὲν κρέα εὖ ἐμίστυλλε καὶ ἀμφὶ ὀβελοῖς ἔπειρεν, ὁ δ' ἀδελφός μου ἔκαιε μέγα τὸ πῦρ. καὶ ἐπειδὴ τὸ πῦρ κατεκάη καὶ ἡ φλὸξ ἐσβέσθη, ὁ πατὴρ στορέσας τοὺς ἄνθρακας ἔπηξε τοὺς ὀβελοὺς ὑπὲρ τῶν ἀνθράκων, καὶ ἁλὸς ἐπέπασεν. καὶ ἐπεὶ ὤπτησεν, ὁ ναύαρχος ἔφερε μάζας ἐν κανῷ, ὁ δὲ πατὴρ ἔνειμε τὰ κρέα.

XVI–XVII

Η ΣΑΛΑΜΙΝΙ ΜΑΧΗ

ἐσθιόντων δ' ἡμῶν, τῶν ναυτῶν τις, ἀνὴρ πάνυ γέρων, "φεῦ, φησίν, οἷα εἶδον ἐγώ ποτε ἐν ταύτῃ τῇ θαλάττῃ γιγνόμενα." ὁ δὲ πατήρ, "τί λέγεις, φησίν, ὦ γέρον; ἄσμενοι γὰρ ἂν ἀκούοιμεν ἀπὸ δείπνου γενόμενοι." ὁ δέ, "μακρὸς μὲν δή, φησίν, ὁ λόγος, ἀλλ' ἄξιος ἀκούειν· ἐνταῦθα γὰρ ἐγένετο μάχη μεγίστη τῶν πρίν, ἐν ᾗ βασιλεὺς ἐνικήθη· ἐναυμάχουν δ' ἐγώ." ἡμεῖς δὲ ἐπῃνοῦμεν ἅπαντες, καὶ ἠξιοῦμεν λέγειν αὐτόν· ὁ δ' ὀλίγον ἐπισχών, εἶπε τοιάδε.

"ἦν μέν, ὦ Θράσυλλε, βασιλεὺς τῶν Μήδων

μέγιστος Ξέρξης, ὃς θεὸς εἶναι ἐδόκει αὐτὸς ἑαυτῷ· καὶ ἔπεμψεν ἀγγέλους δεῦρο γῆν καὶ ὕδωρ αἰτήσοντας. οὐ τυχὼν δὲ γῆς καὶ ὕδατος—οὐ γάρ εἰσι δὴ δοῦλοι οἱ Ἕλληνες τῶν Μήδων, οὐδ' ἔσονται οὐδέποτε—στρατὸν συνελέξατο ὡς καταστρεψόμενος τὴν Ἑλλάδα. εἶχε δ' ἡ ναυτικὴ στρατιὰ πολλὰς μυριάδας ἀνθρώπων, πολλὰς δὲ ἡ πεζή. οἱ δ' Ἀθήνησιν πάντες φοβούμενοι ἔφευγον ἐς Σαλαμῖνα, ἐν ᾗ νῦν ἐσμεν· οἱ δὲ Πέρσαι νικήσαντες τοὺς ἐν Θερμοπύλαις, Λεωνίδαν τε καὶ τοὺς Σπαρτιάτας, κατακαίουσι τὰς Ἀθήνας καὶ τὴν ἀκρόπολιν, ἐν ᾧ τὸ ναυτικὸν παραπλεῖ ἐς Φάληρον. νυκτὸς δὲ περιπέμψαντες νῆάς τινας περὶ τὴν Σαλαμῖνα, ἔκλῃον τὸν ἀφ' ἑσπέρας πορθμὸν τῆς νήσου, ὥστε μηδένα ἀποφυγεῖν. ἡμεῖς δὲ οἱ Ἕλληνες ἐν μέσῳ τούτων κατεχόμενοι ἦμεν ἐν δέει καὶ ὀρρωδίᾳ."

ὁ δ' ἀδελφός μου, "φεῦ, φησίν, τοῦ κινδύνου· ἀλλὰ πόσαι ἦσαν νῆες ἑκατέροις;"

ὁ δ' ἀπεκρίνατο, "οὐκ οἶδ' ἀκριβῶς, λέγεται δὲ ὡς εἶεν τοῖς μὲν Πέρσαις ἑπτὰ καὶ διακόσιαι καὶ χίλιαι, ἡμῖν δὲ τριακόσιαι καὶ δέκα."

ὁ δὲ πατὴρ ὑπολαβὼν εἶπεν· "ὦ ναῦτα, ἀληθῆ λέγεις· καὶ γὰρ ἐγώ ποτ' ὢν Ἀθήνησιν εἶδον δρᾶμα ἐν τῷ θεάτρῳ ὅπερ ἐδίδαξεν ὁ Αἰσχύλος, αὐτὸς συνναυμαχήσας τότε· λέγει δ' ὧδε ὁ Αἰσχύλος·

πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βάρβαρον
ναυσὶν κρατῆσαι. καὶ γὰρ Ἕλλησιν μὲν ἦν
ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
νεῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος."

πρὸς ταῦτ' ὁ ἀδελφός, "ὦ πάτερ, ἔφη, τί δῆτ' ἐστὶ θέατρον, καὶ τί δρᾶμα;" ὁ δέ, "ὕστερον, ἔφη,

περὶ τούτων· νῦν δ' ἀκούωμεν τοῦ λόγου. σὺ δ', ὦ ναῦτα, λέγοις ἄν."

ὁ δ' ἀπεκρίνατο, "καὶ δὴ λέγω. δέος οὖν εἶχεν ἡμᾶς καὶ ὀρρωδία, καὶ οὐκ εἴχομεν ὅτι χρώμεθ' ἡμῖν αὐτοῖς· φεύγειν γὰρ ἀδύνατον, οὐδ' ἐλπὶς ἦν νικήσειν τοσούτους. πρῶτον μὲν οὐκ ἐπείθοντο οἱ στρατηγοὶ τοῖς ἀγγέλοις, ὡς εἴη ἀληθῆ τὰ ἐξαγγελθέντα, ὡς κυκλωθεῖεν δή· ἔπειτα δὲ σαφῶς πυθόμενοι, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἕως τε δὴ διέφαινε, καὶ ὁ Θεμιστοκλῆς, ἀνὴρ Ἀθηναῖος ἀνδρειότατος τῶν τότε, σύλλογον τῶν στρατηγῶν ποιησάμενος, παρῄνεσεν ἄνδρας γενέσθαι, καὶ εἰσβαίνειν ἐκέλευεν εἰς τὰς νῆας. καὶ οὗτοι μὲν δὴ εἰσέβαινον, καὶ ἀνῆγον τὰς νῆας ἁπάσας οἱ Ἕλληνες· ἀναγομένοις δ' αὐτοῖς αὐτίκα ἐπέκειντο οἱ βάρβαροι. οἱ μὲν δὴ ἄλλοι Ἕλληνες ἐπὶ πρύμναν ἀνεκρούοντο, καὶ ὤκελλον τὰς νῆας· Ἀμεινίας δ' ἀνὴρ Ἀθηναῖος ἐξαναχθείς, νηὶ ἐμβάλλει· οἱ δ' ἄλλοι ὁρῶντες ταῦτα ἐβοήθουν. οὕτω γίγνεται τῆς ναυμαχίας ἡ ἀρχή. τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι διεφθείρετο, αἱ μὲν ὑπ' Ἀθηναίων, αἱ δὲ ὑπ' Αἰγινητῶν. οἱ μὲν γὰρ Ἕλληνες σὺν κόσμῳ ἐναυμάχουν κατὰ τάξιν, οἱ δὲ βάρβαροι οὐ τεταγμένοι ἦσαν ἔτι, οὔτε σὺν νῷ ἐποίουν οὐδέν· ὥστε ἔμελλε τοιοῦτο αὐτοῖς συμβήσεσθαι οἷόν περ συνέβη. καίτοι ἦσαν ταύτην τὴν ἡμέραν μακρῷ ἀμείνονες αὐτοὶ ἑαυτῶν, πᾶς τις δειμαίνων Ξέρξην."

πρὸς ταῦτα πάντες ἐπῃνοῦμεν, καὶ ἠρώτων ἐγὼ τὸν πατέρα, πότερόν τι πεποίηκε περὶ τούτων ὁ Αἰσχύλος· ὁ δέ, "ναί, φησίν, πεποίηκεν· ἀκούετε. ὁ γὰρ ἄγγελος δὴ ὁ τοῦ στρατοῦ λέγει πρὸς τὴν μητέρα τοῦ Ξέρξου τάδε·

ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν . . ."

ἀλλ' ὁ ἀδελφός μου ἐπιλαβόμενος ἐρωτᾷ, "οὐ δῆλά μοι ταῦτ', ὦ πάτερ· πῶς γὰρ λέγεις λευκόπωλον τὴν ἡμέραν;"

πρὸς ταῦθ' ὁ πατήρ, "ὦ Θρασύστομε, φησίν, εὖ γ' ὡς ἔοικεν ὠνόμασά σε, Θρασύστομον ὀνομάζων· θρασύτατον γὰρ ἔχεις τὸ στόμα, ἐπιλαβόμενος τοῦ πατρὸς παῖς ὤν."

ὁ δ', "ἀλλ', ἔφη, ὦ φίλτατέ μοι πάτερ, συγγνώμην ἂν ἔχοις μοι. κελεύει γάρ με ὁ διδάσκαλος, ὅ τι ἂν μὴ τύχω συνιείς, τοῦτο εὐθὺς ἐρωτᾶν."

καὶ ὁ πατήρ, "εὖ γ', ὦ παῖ, φησίν, συγγιγνώσκω δή σοι, ὥσπερ ἀξιοῖς. λευκόπωλος οὖν ἐστιν ἡ ἡμέρα, ἐπειδὴ ὁ Φαέθων τέθριππον ἐλαύνει καὶ τέτταρας ἵππους λευκούς· ὥστε λεύκιππος ἢ λευκόπωλος ἡ ἡμέρα. καὶ δὴ ἐπαναλαμβάνω τοὺς στίχους, σὺ δ' ἐάν τι μὴ συνίῃς, ἀνάμενε τὸ τέλος."

ὁ δ' ἔφη, "ταῦτ', ὦ πάτερ"· ὁ πατὴρ δ' εἶπε·

"ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν ἠχεῖ κέλαδος Ἑλλήνων πάρα·
εὐθὺς δὲ κώπης ῥοθιάδος συνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος,
θοῶς δὲ πάντες ἦσαν ἐμφανεῖς ἰδεῖν.
τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν—'ὦ παῖδες Ἑλλήνων, ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.'
καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ

ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ηὔθυνεν δόρυ.
τὰ πρῶτα μέν νυν ῥεῦμα Περσικοῦ στρατοῦ
ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως
κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν,
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον.
φυγῇ δ' ἀκόσμῳ πᾶσα ναῦς ἠρέσσετο,
ὅσαιπερ ἦσαν βαρβάρου στρατεύματος·
οἱ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγαῖσι κωπῶν θραύμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον, οἰμωγὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
ἕως κελαινὸν νυκτὸς ὄμμ' ἀφείλετο."

καὶ ὁ μὲν ἐπαύσατο λέγων, ὁ δ' ἀδελφὸς θαυμάσας ἔφη, "ὦ τοῦ καλοῦ ποιήματος, σὺ δ', ὦ πάτερ, ζηλωτὸς εἶ τῆς μνήμης. εἰ γὰρ ἐγὼ οὕτως εἶχον τῆς μνήμης, οὐκ ἂν ὠργίζετο ὁ διδάσκαλος ὥσπερ καὶ ὀργίζεται, λέγων μῶρον ἐμὲ καὶ ἐπιλήσμονα, καὶ πληγὰς ἐντείνων πολλάκις."

ὁ δὲ πατὴρ γελάσας, "τί δ', ὦ Θρασύστομε, φησίν, ἆρα πληγὰς λαμβάνεις μῶρος ὤν; ἆρα συνίης τὸ πᾶν ἢ καὶ σαφέστερον λέξω σοι;"

πρὸς ταῦτ' εὐθὺς ἀνεβοήσαμεν ἐγώ τε καὶ ὁ ἀδελφός, "εἴθε γὰρ λέγοις, ὦ πάτερ, ἁπλουστέροις λόγοις λέγων."

ὁ δέ, "σίγατε οὖν, ἔφη, καὶ ἐρῶ. τάδε γάρ φησιν ὁ ποιητής· ἐπειδὴ πρῶτον ἡμέρα ἐγένετο, καὶ ὁ ἥλιος ἔλαμπεν καὶ ἐδήλου τὴν γῆν, πρῶτον μὲν βοὴν γενέσθαι παρὰ τῶν Ἑλλήνων· εὐθὺς δὲ συνεμβάλλειν τὰς κώπας τοὺς ἐρέτας ἐς τὴν θάλατταν, ῥόθον

ποιουμένους καὶ ἀφρόν, καὶ τύπτειν την ἅλα μετὰ μεγάλου κτύπου ὁμοῦ πάντας, ἐπεὶ κελεύοι ὁ κελευστὴς διδοὺς κέλευσμα· ταχέως δὲ παρεῖναι ἰδεῖν πάντας εὖ. πρῶτον μὲν προελθεῖν τὸ δεξιὸν κέρας τοῦ στόλου κατὰ τάξιν σὺν κόσμῳ, δεύτερον δὲ τὰς ἄλλας νῆας ἐπεκχωρεῖν, καὶ βοᾶν τοὺς στρατηγούς, 'ἴτε, ὦ Ἕλληνες, καὶ νικᾶτε τοὺς πολεμίους, μὴ δοῦλοι γενώμεθα τοῖς Πέρσαις, ἡμεῖς τε καὶ οἱ παῖδες καὶ αἱ γυναῖκες, καὶ οἱ θεοὶ αὐτοί, μηδὲ διαφθαρῶσιν οἵ τε ναοὶ τῶν θεῶν καὶ οἱ τύμβοι τῶν προγόνων· περὶ πάντων γὰρ ἤδη ἀγωνιζόμεθα.' τοὺς δὲ Πέρσας αὖ φωνὴν καὶ αὐτοὺς ἐξιέναι, καιρὸν δ' εἶναι ἤδη τοῦ ἔργου. εὐθὺς δὲ τὰς ναῦς ἄλλην ἄλλῃ προσπαῖσαι τὰ ἔμβολα χαλκᾶ ὄντα· πρώτην δ' ἄρξαι ναυμαχίας Ἑλληνικήν τινα ναῦν, καὶ ἀποθραύειν τὰ ἄφλαστα τὰ ἐπὶ πρύμνης Φοινίσσης τινὸς νεώς. καὶ πρῶτον μὲν τὸ πλῆθος τῶν νεῶν τῶν Περσικῶν, πολὺ ὂν ὥσπερ ῥεῦμα ποταμοῦ, ἀντέχειν· ὡς δὲ πολλὰς ἐν στενοχωρίᾳ ἠθροισμένας εἶναι, καὶ ἀδύνατον εἶναι βοηθεῖν ἀλλήλαις, τὰς Ἑλληνικὰς νῆας μετὰ πολλῆς ἐπιστήμης θείνειν αὐτὰς κύκλῳ, τὰ δὲ σκάφη τῶν νεῶν περιτραπέντα οἴχεσθαι, ὥστε μηκέτι παρεῖναι ἰδεῖν τὴν θάλατταν, πολλῶν ὄντων τῶν ἐρειπίων. τὰς δὲ ἀκτὰς καὶ τὰς πέτρας πλήρεις γενέσθαι νεκρῶν. μετὰ ταῦτα φεύγειν τὰς Περσικὰς νῆας ἄνευ κόσμου· τοὺς δ' Ἕλληνας παίειν ἐκείνους καὶ ῥαχίζειν, ὥσπερ καὶ οἱ ἁλιῆς ῥαχίζουσι θύννους ἢ ἄλλους ἰχθύας· πᾶσαν δὲ τὴν θάλατταν πλήρη εἶναι οἰμωγῆς καὶ βοῆς καὶ κωκυμάτων καὶ ὀλοφυρμῶν, ἕως νὺξ ἐπῆλθεν."

ταῦτα δ' ἀκούσας, "ὦ πάτερ, ἦν δ' ἐγώ, σοῦ λέγοντος ἀκούων δοκῶ μοι καὶ αὐτὸς ἰδεῖν τὴν ναυμαχίαν· σὺ δ', ὦ ναῦτα, ὃς ἐναυμάχησας καὶ αὐτόπτης ἐγένου, λέγοις ἂν καὶ τὰ ἄλλα. τίς εὖ ἐμάχετο, τίς κακῶς, τίς δὲ καὶ ἐφέρετο τἀριστεῖα;"

ὁ δ' εἶπεν, "κατὰ μὲν τοὺς ἄλλους, οὐκ ἔχω εἰπεῖν ἀκριβῶς, ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίαν τάδε ἐγένετο, ἀφ' ὧν ηὐδοκίμησε κάρτα παρὰ βασιλεῖ. αὕτη γάρ, γυνὴ οὖσα, ἐστρατεύσατο ἐπὶ τὴν Ἑλλάδα· ἀποθανόντος γὰρ τοῦ ἀνδρός, καὶ παιδὸς ὑπάρχοντος αὐτῇ νεανίου, αὐτή τε εἶχε τὴν τυραννίδα τῆς Ἁλικαρνασσοῦ, καὶ ὑπὸ λήματος καὶ ἀνδρείας ἐστρατεύετο, οὐδεμίας οὔσης ἀνάγκης. διὰ ταῦτα ηὐδοκίμησε παρὰ βασιλεῖ, ηὐδοκίμησε δὲ καὶ μᾶλλον ἐν ταύτῃ τῇ ναυμαχίᾳ. ἐπειδὴ γὰρ εἰς πολὺν θόρυβον ἀφίκετο τὰ βασιλέως πράγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ ναῦς ἡ Ἀρτεμισίας ἐδιώκετο ὑπὸ νεὼς Ἀττικῆς· ἡ δ' οὐκ ἔχουσα διαφυγεῖν, ἔμπροσθεν γὰρ αὐτῆς ἦσαν ἄλλαι νῆες φίλιαι, ἐμηχανήσατο τόδε ποιῆσαι· διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς, ἐνέβαλε νηὶ φιλίᾳ. ὡς δ' ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίᾳ χρησαμένη, διπλᾶ ἑαυτὴν ἀγαθὰ ἠργάσατο. ὅ τε γὰρ τῆς Ἀττικῆς νεὼς τριήραρχος, ὡς εἶδεν αὐτὴν ἐμβάλλουσαν νηὶ ἀνδρῶν βαρβάρων, νομίσας τὴν ναῦν τὴν Ἀρτεμισίας ἢ Ἑλληνίδα εἶναι ἢ αὐτομολεῖν ἐκ τῶν βαρβάρων, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο. τοῦτο μέν, τοιοῦτο αὐτῇ συνήνεγκε γενέσθαι, διαφυγεῖν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δέ, συνέβη ὥστε κακὸν ἐργασαμένην, ἀπὸ τούτων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. λέγεται γὰρ βασιλέα θεώμενον μαθεῖν τὴν ναῦν ἐμβαλοῦσαν· καὶ δή τινα εἰπεῖν τῶν παρόντων, 'δέσποτα, ὁρᾷς Ἀρτεμισίαν, ὡς εὖ ἀγωνίζεται, καὶ ναῦν τῶν πολεμίων κατέδυσεν;' τὸν δ' ἐρωτᾶν εἰ ἀληθῶς ἐστιν Ἀρτεμισίας τὸ ἔργον· τοὺς δὲ φάναι, σαφῶς τὸ ἐπίσημον τῆς νεὼς ἐπισταμένους. τὴν δὲ διαφθαρεῖσαν ναῦν οὐδεὶς ἠπίστατο οὖσαν φιλίαν· τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεγκεν εἰς εὐτυχίαν γενόμενα, καὶ τὸ μηδένα τῶν ἐν

τῇ διαφθαρείσῃ νηΐ ἀποσωθῆναι. Ξέρξην δὲ εἰπεῖν λέγεται πρὸς τὰ λεγόμενα, "οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες." ταῦτα μὲν Ξέρξην φασὶν εἰπεῖν."

τοῦ δὲ ναύτου λέγοντος ταῦτα, ἐθεασάμεθα τόν τε πορθμὸν καὶ τὴν ἤπειρον, καὶ ἐθαυμάζομεν τοὺς προγόνους ὡς ἀνδρείους ὄντας καὶ ἐλευθερώσαντας τὴν πατρίδα. εὐξάμενοι δὲ τοῖς θεοῖς τοιοῦτοι γενέσθαι καὶ αὐτοί, ηὐφημοῦμεν.

ἑσπέρας δὲ γενομένης κατεπλέομεν πρὸς τὴν ἤπειρον, πεζοὶ δ' ἀφικόμεθα οἴκαδε.

XVIII

ΔΙΑΛΟΓΟΣ

μετὰ ταῦτα τῇ ὑστεραίᾳ, διελεγόμεθα ἐγώ τε καὶ ἀδελφὸς περὶ τούτων ἃ διηγήσαντο ὁ ναύτης καὶ ὁ πατήρ· καὶ ἐγὼ εἶπον, "ὦ ἀδελφέ, μέγας ἄρ' ἦν βασιλεύς, εἴ γε τοσαύτην στρατιὰν ἦγεν ἐφ' Ἑλλάδα. πόση γὰρ ἦν ἡ στρατιά; ἦ μέμνησαι;" ὁ δ', "μέμνημαι, ἔφη· τῶν μὲν Μήδων ἦσαν νῆες ἑπτὰ καὶ διακόσιαι καὶ χίλιαι, τῶν δ' Ἑλλήνων τριακόσιαι καὶ δέκα." καὶ ἐγώ, "ὢ τοῦ πλήθους, ἔφην· καὶ κατὰ γῆν πεζὴ στρατιὰ πλείων ἀριθμοῦ. τίς δ' ἦν ὁ ποιητὴς ὃς ἐδίδαξε τὸ δρᾶμα, ὡς εἶπεν, ἐν τῷ θεάτρῳ;" ὁ δ' ἀπεκρίνατο, "Αἰσχύλος ἦν ὁ ποιήσας· καὶ ἐποίει ἰάμβους πάνυ καλούς, ὧν μέμνημαι· ἄκουε δή·

> καὶ γὰρ Ἕλλησιν μὲν ἦν
> ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
> νεῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·

ἀλλὰ πρὸς τί δῆτ' ἔκκριτος;" πρὸς ταῦτ' ἐγώ, "οὐκ οἶδ' ἔγωγε, ἔφην, οὐ γὰρ ἐδήλου τοὖθ' ὁ πατήρ.

περὶ δὲ τοῦ βασιλέως τί φησιν ὁ ποιητής; οὐ γὰρ εὖ ἔχω μνήμης." ὁ δ' ἀπεκρίνατο λέγων·

"Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκοποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος."

"θαῦμ' ἄρ' ἐγένετο, ἦν δ' ἐγώ, τὸ νικᾶν τοσαύτας· οὐδ' ἂν ἐνικήσαμεν ἄνευ τῶν θεῶν. ἐπαινῶ δὲ καὶ τὸν Ἀμεινίαν ὡς ἀνδρεῖον ὄντα, ὅσπερ ἀναχθεὶς πρῶτον ἦρξε τῆς μάχης. χαλεπὸν μὲν γὰρ τὸ ἄρξαι μεγάλου ἔργου, ῥᾴδιον δ' ἕπεσθαι. εἴθ' ὤφελον ἰδεῖν καὶ αὐτὸς τὰς ναῦς διαφθειρομένας ὑπὸ τῶν Ἑλλήνων, καὶ κεραϊζομένας ἐν τῇ Σαλαμῖνι· οἱ δ' ἔπαιον τοὺς Μήδους ὥσπερ θύννους ἐν τῇ θαλάττῃ νέοντας· οἴμοι, ὡς ὤφελον παραγενέσθαι καὶ συμμαχεῖν." "ἡ δ' Ἀρτεμισία, ἦ δ' ὃς ὁ Θρασύστομος, οὐκ εὖ ἐποίει· ἀπέφυγε μὲν γάρ, ἀλλὰ προδοῦσα τοὺς φίλους."

XIX

ΔΙΚΑΣΤΗΣ ΒΟΥΚΟΛΟΣ

ἀτυχία ἐγένετο νεωστί. ἔπλεον γάρ τινες νεανίαι ἐν πλοίῳ, ἵνα ἡβῶσι μετ' ἀλλήλων· ἤρεττον δ' οἱ οἰκέται. παραπλέοντες δὲ εἰς λιμένα τινὰ εἰσέπλεον, καὶ εἰσπλεύσαντες ὡρμίζοντο. ὁρμισάμενοι δὲ κακὸν μὲν οὐδὲν ἐποίουν, ἐτέρποντο δέ. ἄλλοτε μὲν γὰρ ἰχθῦς αἱροῦσιν, ἄλλοτε δὲ ὄρνιθας καὶ λαγὼς θηρεύουσιν. ἁλιεύουσι δ' ὧδε· ἄγκιστρον ἀπαρτῶσιν ἐκ λίνου λεπτοῦ, τὸ δὲ λίνον ἀπαρτῶσιν ἐκ καλάμου· καὶ ἐπιθέντες δέλεαρ, καθιᾶσι τὸ ἄγκιστρον μετὰ τοῦ δελέατος εἰς τὴν θάλατταν· οἱ δ' ἰχθύες ἐγκάπτουσι τό τε δέλεαρ καὶ τὸ ἄγκιστρον, καὶ ἐξέλκονται ἤδη. τοὺς δ' ὄρνιθας αἱροῦσι βρόχοις, χῆνάς τ' ἀγρίους καὶ νήττας, τοὺς δὲ λαγὼς δικτύοις. οἱ δὲ νεανίαι, εἴ τινος

καὶ προσδέοι, παρὰ τῶν ἐν τοῖς ἀγροῖς ἐλάμβανον, ὀβολοὺς καταβάλλοντες πλείους τῆς ἀξίας. τὸ δὲ πλοῖον ἔδησαν ἐκ τῆς γῆς· πεῖσμα δ' οὐκ ἔχοντες—φροῦδον γάρ πως ἐγένετο τὸ πεῖσμα—λύγον χλωρὰν ἀπέσπων, ἀποσπάσαντες δὲ τὴν λύγον ἐποίησαν σχοινίον, καὶ ταύτῃ τὸ πλοῖον ἔδησαν ἔκ τε τῆς γῆς καὶ πρύμνης ἄκρας. ἔπειτα ἀφεῖσαν τοὺς κύνας ῥινηλατεῖν· οἱ δὲ κύνες διέθεον ὑλακτοῦντες, τῇ δ' ὑλακῇ ἐφόβησαν τὰς αἶγας. καὶ αἱ αἶγες δὴ φοβούμεναι ἔφευγον πρὸς τὴν θάλατταν. ἀλλ' οὐδὲν εὑροῦσαι τρωκτὸν ἐν τῇ ψάμμῳ, ἀπέφαγον τὴν λύγον τὴν χλωράν, ᾗ ἐδέδετο τὸ πλοῖον.

καὶ ἰδού, κατέπνει ἀπὸ τῶν ὀρῶν πνεῦμα ἀνέμου· καὶ πνέοντος τοῦ ἀνέμου, κλυδώνιον ἐγένετο ἐν τῇ θαλάττῃ· γενομένου δὲ τοῦ κλυδωνίου, ἡ παλιρροία τῆς θαλάττης ὑπέφερε τὸ πλοῖον εἰς τὸ πέλαγος.

αἰσθόμενοι δ' ἤδη οἱ ξένοι ἔτρεχον ἐπὶ τὴν θάλατταν· τὸ δὲ πλοῖον ἤδη ἔφθασεν φερόμενον κατὰ ῥοῦν. ὀργιζόμενοι οὖν οἱ ξένοι ἐζήτουν τὸν νέμοντα τὰς αἶγας, ἵνα τιμωροῖντο· καὶ εὑρόντες αὐτόν, φίλον ὄντα ἡμῶν, τὸ ὄνομα Δάφνιν, ἔτυπτόν τε καὶ ἀπέδυον, καὶ λαβόντες ἱμάντα, περιῆγον τὰς χεῖρας, ὡς δήσοντες. ὁ δ' ἐβόα καὶ ἱκέτευε τοὺς ἀγροίκους βοηθεῖν ἑαυτῷ· οἱ δ' ἐλθόντες ἀντείχοντο, καὶ ἐκέλευον δικάζεσθαι περὶ τοῦ πράγματος.

δικαστὴν οὖν καθίζουσι Μέλητον τὸν βουκόλον· πρεσβύτατός τε γὰρ ἦν τῶν παρόντων, καὶ κλέος εἶχεν ἐν τοῖς κωμήταις δικαιοσύνης. πρῶτον δὲ κατηγόρουν οἱ ξένοι, σαφῆ καὶ βραχέα. "ἤλθομεν εἰς τούτους τοὺς ἀγροὺς θηρεύειν ἐθέλοντες. τὴν μὲν οὖν ναῦν λύγῳ χλωρᾷ δήσαντες κατελίπομεν ἐπὶ τῆς ἀκτῆς· αὐτοὶ δὲ μετὰ τῶν κυνῶν θήραν ἐποιούμεθα. ἐν τούτῳ κατελθοῦσαι πρὸς τὴν θάλατταν αἱ αἶγες τούτου τήν τε λύγον κατεσθίουσι καὶ τὴν ναῦν

ἀπολλύουσιν. ἀνθ' ὧν ἀξιοῦμεν ἄγειν τοῦτον, πονηρὸν ὄντα βουκόλον, ὃς ἐπὶ τῆς θαλάττης νέμει τὰς αἶγας ὥσπερ ναύτης."

τοιαῦτα μὲν δὴ οἱ ξένοι εἶπον κατηγοροῦντες. ὁ δὲ Δάφνις, οὐδὲν ἀθυμῶν, εἶπεν ὧδε· "ἐγὼ νέμω τὰς αἶγας καλῶς. οὐδέποτε κατηγόρησε κωμήτης οὐδείς, ὡς ἢ κῆπόν τινος αἲξ ἐμὴ ἔβλαψεν, ἢ ἄμπελον βλαστάνουσαν κατέκλασεν. οὗτοι δ' εἰσὶ κυνηγέται πονηροί, καὶ κύνας ἔχουσι κακῶς πεπαιδευμένους, οἵτινες τρέχοντες καὶ ὑλακτοῦντες κατεδίωξαν τὰς αἶγας ἐκ τῶν ὀρῶν καὶ τῶν πεδίων ἐπὶ τὴν θάλατταν, ὥσπερ λύκοι. ἀλλὰ νὴ Δία ἀπέφαγον τὴν λύγον· ἀλλ' οὐκ εἶχον ἐν ψάμμῳ πόαν οὐδὲ κόμαρον οὐδὲ θύμον. ἀλλὰ νὴ Δία ἀπώλετο ἡ ναῦς ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάττης. ἀλλὰ ταῦτα χειμῶνος ἔργα, οὐκ αἰγῶν."

ταῦτα εἰπὼν προσεδάκρυσεν ὁ Δάφνις, καὶ εἰς οἶκτον κατέστησε τοὺς ἀγροίκους πολύν· ὥστε ὁ Μέλητος ὁ δικαστὴς ὤμνυ Πᾶνα καὶ Νύμφας μηδὲν ἀδικεῖν Δάφνιν.

XX

ΑΤΥΧΙΑΙ

πέρυσι καὶ τῆτες ἐπάθομεν πολλὰ καὶ κακά, οὐδὲ προπέρυσι καλῶς εἶχε τὰ πράγματα.

πέρυσι μὲν γάρ, πρωῒ τοῦ φθινοπώρου, χειμῶνες ἦσαν οὐ κατὰ καιρόν· ταῦτα δὴ ἐγένετο τοιαῦτα μέχρι Πλειάδος δύσεως. ὁ χειμὼν δὲ βόρειος ἐπεγένετο, μετὰ πολλοῦ ὑετοῦ καὶ λάβρου, καὶ δὴ καὶ χιόνος. ἤδη δὲ μετὰ τὰς ἡλίου τροπὰς τὰς χειμερινάς, καὶ ἡνίκα ζέφυρος πνεῖν ἄρχεται, ὀπισθοχειμῶνες ἦσαν μεγάλοι μετὰ χιόνος, οὐρανὸς δ' ἐπινέφελος. ταῦτα δὲ συνέτεινε μέχρι ἰσημερίας. τὸ δ' ἔαρ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. τὸ θέρος οὐ λίαν

καυματῶδες ἐγένετο· ἐτησίαι συνεχεῖς ἔπνεον· ταχὺ δὲ περὶ Ἀρκτοῦρον πολλὰ πάλιν ὕδατα. ἐκ τούτων οὖν τοῖς μὲν ἀνθρώποις νόσοι πολλαὶ ἐγένοντο, ὀφθαλμίαι καὶ ἱδρῶτες καὶ πυρετοί, τοῖς δὲ προβάτοις ἄλλαι νόσοι οὐχ ἥκιστα.

καὶ μὴν τῆτές γε ἄπνοια ἦν αἰεί· πρῶτον μὲν αὐχμοὶ ἦσαν, μετὰ δὲ ταῦτα ὑδάτων πλήθη· ὁ δὲ χειμὼν νότιος καὶ ὑγρὸς καὶ μαλθακὸς μετὰ ἡλίου τροπάς· ἔαρ πάλιν νότιον καὶ ἄπνουν, καὶ ὕδατα πολλὰ μέχρι Κυνός. τὸ δὲ θέρος θερμόν, καὶ πνίγη μεγάλα. ἐκ τούτων οὖν κακῶς διέκειντο οἵ τε πυροὶ καὶ αἱ κριθαὶ καὶ δὴ καὶ ἡ ὀπώρα σχεδὸν πᾶσα.

ἐδόκει οὖν τῷ πατρὶ τὠμῷ ἰέναι εἰς Δελφοὺς χρησόμενος τῷ μαντείῳ. ἔστι γάρ τοι ἐν τοῖς Δελφοῖς μαντεῖον μέγιστον τοῦ Ἀπόλλωνος· χρῇ δὲ ἡ Πυθία, ἱέρεια οὖσα καὶ παρθένος, καθημένη ἐπὶ τρίποδος ἐν μυχῷ τοῦ ναοῦ. ὁ δ' Ἀπόλλων μάντις ἐστὶ καὶ ἑρμηνεὺς τοῦ Διός, ὥστε ὅ τι ἂν λέγῃ ἀληθές ἐστιν. ἀπῄει οὖν ὁ πατὴρ ἄγων ἱερὰ τὰ νομιζόμενα, ἄγων δὲ καὶ ἐμὲ καὶ αἰπόλον· καὶ ᾠχούμεθα ὁ μὲν ἐφ' ἵππου, ἐγὼ δὲ ἐπ' ὄνου, ὁ δ' αἰπόλος ἐφ' ἡμιόνου.

ἀφικόμενοι δὲ εἰς τοὺς Δελφούς, ἔσφαξε τὰ ἱερὰ παρὰ τῷ βωμῷ· καὶ λαχὼν εἰσῆλθεν ὁ πατὴρ χρησόμενος τῷ μαντείῳ. ἔγραψε δ' ἐν πινακίῳ τὸ ἐρώτημα, καὶ ἦν τοιόνδε·

> *"ἐρωτᾷ ὁ Θράσυλλος περὶ προβάτων καὶ αἰγῶν καὶ νόσου· τίνι θεῶν ἢ ἡρώων θύων καὶ εὐχόμενος λῷον καὶ ἄμεινον πράττοι, καὶ τῆς νόσου παύσοιτο;"*

ὁ δὲ θεὸς ἔχρησε θῦσαι Γῇ καρποφόρῳ καὶ Ἑρμῇ νομίῳ καὶ Ἥρωι ἰατρῷ, καὶ οὕτω λῷον καὶ ἄμεινον ἔσεσθαι.

ἀνεχωροῦμεν οὖν οἴκαδε χάριν εἰδότες πολλὴν τῷ

θεῷ. καὶ ἀφικόμενοι ἐθύσαμεν ὡς καὶ ἔχρησε, Γῇ καρποφόρῳ καὶ Ἑρμῇ νομίῳ καὶ Ἥρῳ ἰατρῷ. καὶ ἡ μὲν νόσος ἐπαύσατο εὐθύς, ἐλπίζομεν δὲ εἰς νέωτα λῷον καὶ ἄμεινον ἔσεσθαι καὶ τοῖς προβάτοις καὶ αἰξὶν καὶ δὴ καὶ τῷ θέρει καὶ τῇ ὀπώρᾳ. εἰ γὰρ οὕτω γένοιτο, ὦ θεοί. ἀλλὰ μήν, ὥσπερ ἡ παροιμία,

αἰεὶ γεωργὸς ἐς νέωτα πλούσιος.

XXI

ΩΡΑΙ

τέτταρές εἰσιν ὧραι τοῦ ἐνιαυτοῦ· ἔαρ, θέρος, ὀπώρα ἢ μετόπωρον, χειμών, ὧν ἕκαστόν ἐστι τέταρτον μέρος τοῦ ἐνιαυτοῦ. εἰσὶ δὲ δώδεκα μῆνες, ὧν ἕκαστος δωδέκατον μέρος τοῦ ἐνιαυτοῦ· ἐν ἑκάστῳ δὲ μηνὶ ἢ τριάκοντα ἡμέραι ἢ ἐννέα καὶ εἴκοσι, ὧνπερ ἑκάστη μέρος τοῦ μηνὸς ἢ τριακοστὸν ἢ εἰκοστὸν ἔνατον.

καὶ μὴν τοῦ γε μηνὸς τρία μέρη, ἱσταμένου καὶ μεσοῦντος καὶ φθίνοντος, ἕκαστον δ' ἔχει δέκα ἡμέρας, ὥστε τρεῖς δεκάδες εἰσίν. ἡ μὲν πρώτη τοῦ μηνὸς νουμηνία καλεῖται, ἡ δ' ἐσχάτη ἕνη καὶ νέα· ἐν γὰρ τῇ ἐσχάτῃ καὶ λήγει ἡ παλαιὰ σελήνη καὶ ἄρχεται ἡ νέα. αἱ δὲ τῆς πρώτης δεκάδος πλὴν νουμηνίας λέγονται δευτέρα ἱσταμένου καὶ αἱ λοιπαὶ οὕτως· αἱ δὲ τῆς δευτέρας δεκάδος, πρώτη ἐπὶ δέκα μεχρὶ τῆς ἐνάτης ἐπὶ δέκα, ἔπειτα δ' εἰκάς· αἱ δ' ἀπὸ ταύτης πρώτη μετ' εἰκάδας (ἡ δ' αὐτὴ δεκάτη φθίνοντος) καὶ δευτέρα μετ' εἰκάδας (ἡ δ' αὐτὴ ἐνάτη φθίνοντος) καὶ ὁμοίως μεχρὶ τῆς ἕνης καὶ νέας.

τὰ δὲ μέρη τῆς ἡμέρας τάδε· ὄρθρος ἢ ὄρθρος βαθύς, ὑπὸ πρώτην ἕω, ἡλίου ἀνέχοντος, πρωῒ τῆς ἡμέρας, μεσούσης ἡμέρας ἢ περὶ μεσημβρίαν, δείλη, δείλη ὀψία, ὀψὲ τῆς ἡμέρας, ἑσπέρα.

τῆς νυκτὸς τὰ μέρη τάδε· νυκτὸς ἀρχὴ ἢ περὶ πρώτην νύκτα, περὶ πρῶτον ὕπνον, μέσαι νύκτες, περὶ ἀλεκτρυόνων ᾠδάς. διανέμουσι δὲ καὶ τριχῇ τὴν νύκτα, ὥστε εἶναι τῆς νυκτὸς πρώτην τε φυλακὴν καὶ δευτέραν καὶ τρίτην.

22

ΧΕΙΜΩΝ

χειμῶνος μὲν ψῦχος γίγνεται μέγιστον ἐν ὄρεσιν, τόν τε Ποσειδεῶνα μῆνα καὶ Γαμηλιῶνα. πνέοντος γὰρ βορέου ἀπὸ Θρῄκης χιὼν μὲν πίπτει πολλὴ ἐκ Διός, ἄνεμοι δὲ φυσῶσι χαλεπώταται· πήγνυται τὸ ὕδωρ καὶ κρύσταλλος γίγνεται. καὶ μὴν καθ' ὕλην πολλαὶ μὲν δρῦς πίπτουσι χαμαί, πολλαὶ δ' ἐλάται, βοᾷ δὲ πᾶσ' ὕλη, καὶ φρίττει τὰ θηρία, καίπερ λασίων οὐσῶν τριχῶν ἐπὶ τοῦ δέρματος αὐτῶν. ὁ δὲ βορέας ψυχρὸς ὢν διαφυσᾷ καὶ διὰ τῆς λάχνης, οὐδ' αὐτὸν κατίσχει οὔτε τὸ δέρμα τοῦ βοὸς οὔτε τοῦ αἰγὸς δασὺ ὄν· τροχαλὸν δὲ καὶ γέροντα τίθησιν. ἡ δ' ἀδελφή μου ἁπαλὴ οὖσα μένει οἴκοι παρὰ τῇ μητρί, λουσαμένη τὸν χρῶτα καὶ χρισαμένη ἐλαίῳ. ἡ δὲ μήτηρ τῇ μὲν ἀριστερᾷ ἔχει ἠλακάτην, τῇ δὲ δεξιᾷ ἄτρακτον. καὶ ἡ μὲν ἠλακάτη πλήρης ἐστὶν ἐρίων, τὸν δ' ἄτρακτον στρέφει, καὶ κλώθει τὸ λίνον. ἐπειδὰν δὲ ἅλις λίνου ἔχῃ, παρασκευάζει τὸν ἱστόν· παρεσκευασμένου δὲ τοῦ ἱστοῦ, ὑφαίνει χρωμένη τῇ κερκίδι. ἐνυφαίνει δ' ἐν τῷ ὑφάσματι ζῳγραφίαν καλλίστην.

οἱ δ' ἄνθρωποι τοῦ χειμῶνος στρέφουσι κάτω τὰς κεφαλάς, ὥσπερ τρίποδες γενόμενοι ἅτε βακτηρίας ἐν χερσὶν ἔχοντες, ἵνα ὑπεκδράμωσι τὴν χιόνα. καὶ δὴ τότε χλαῖνάν τε χρὴ ἀμφιέσασθαι καὶ χιτῶνα, μὴ ὀρθαὶ φρίττωσιν αἱ τρίχες κατὰ τὸ σῶμα, καὶ πέδιλα χρὴ δήσασθαι ἀμφὶ ποσίν. πρὸς τούτοις δὲ συρράπ-

τομεν νεύρῳ δέρματα ἐρίφων, ἵνα ἀπαμύνωμεν τὸν ὑετόν, ἐπὶ δὲ κεφαλῆς πῖλον φοροῦμεν, μὴ τὸ ὕδωρ καταδύῃ εἰς τὰ ὦτα· ψυχρὰ γὰρ ἕως. καὶ τῆς μὲν νυκτὸς οἱ ἀστέρες λάμπονται, ἅμ' ἕῳ δὲ νεφέλη τέταται ἐπὶ τῶν ἀγρῶν, καλὴ μὲν τοῖς πυροῖς χαλεπὴ δὲ τοῖς ἀνθρώποις· ἑσπέρας δὲ ἢ ὕει ὁ Ζεὺς ἢ πνεῖ ὁ βορέας· φθάνοις ἂν οὖν οἴκαδε ἀφικόμενος, πρὶν νέφος σ' ἀμφικαλύψαι, καὶ βρέχειν τὸν χρῶτα καὶ τὴν ἐσθῆτα. οἴκοι δὲ μένων ἢ ἄροτρα πήξαις ἄν, ἢ παγίδας ἂν ὀρνίθων μηχανήσαιο, ἢ ἄλλο τι ποιοίης ἂν τῶν κατ' οἰκίαν ἔργων.

23

ΑΡΟΤΟΣ

τοῦ ἦρος ἀρχομένου λύεται μὲν ἤδη ἡ χιών, γυμνοῦται δ' ἡ γῆ καὶ ὑπανθεῖ ἡ πόα· φιλοῦμεν δ' ἐγώ τε καὶ ὁ ἀδελφὸς συνεργάζεσθαι τοῖς ἐργάταις ἐργαζομένοις. καὶ πρῶτον μὲν δεῖ ἀροῦν τὴν γῆν, ἵνα σπείρωμεν εὖ τὰ σπέρματα, μηδὲ ἀφαρπάσωσιν αὐτὰ οἱ ὄρνιθες ἐπιπολῆς ὄντα.

ἔστιν οἴκοι δύο ἄροτρα, ἕτερον μὲν αὐτόγυον, ἕτερον δὲ πηκτόν. πήγνυται δὲ τὸ ἄροτρον τὸ πηκτὸν ὧδε. τὸ μὲν ἔλυμα σκληρόν τί ἐστι ξύλον, ὅπερ διατέμνει τὴν γῆν· τοῦ δὲ ἐλύματος ἄκρου πήγνυται ἑτέρωθεν μὲν ὁ γύης, ἑτέρωθεν δ' ὁ ἱστοβοεύς. καὶ μὴν τοῦ γύου τὸ ἄκρον ἐχέτλη ἐστίν, ἧς ἔχεται ἡ χεὶρ τοῦ ἀροτῆρος· ἐπὶ δὲ τοῦ ἱστοβοέως ἔπεστι ζυγόν, ὅπερ ἐπίκειται ἐπὶ τῶν αὐχένων τῶν βοῶν. αὐτόγυον δὲ ἄροτρον ἔχει τόν τε γύην καὶ τὸ ἔλυμα αὐτοφυῆ ἄνευ γόμφων. ἕλκετον δὲ τὸ ἄροτρον δύο βόε ἄρσενε, ἥβης μέτρον ἔχοντε· οἱ γὰρ τοιοῦτοι ἄριστοι ἐργάζεσθαι.

διὰ τοῦτο δύο ἔχομεν ἀρότρω· ἵνα θάτερον ἐπιβάλωμεν τοῖς βουσὶν ἐὰν κατάξωμεν θάτερον. πένητες



ἰδοὺ χελιδών· νὴ τὸν Ἡρακλέα· αὐτηί· ἔαρ ἤδη.

γάρ ἐσμεν εἰ γὰρ πλούσιος ἦν ὁ πατήρ, πολλὰ ἂν εἶχε ζεύγη βοῶν, πολλοὺς δ' ἀροτῆρας. καὶ μὴν οἱ τῶν πλουσίων ἀροτῆρες ἐλαύνουσι τοὺς βοῦς κατ' ὄγμους ἔνθα καὶ ἔνθα στρέφοντες· ὅταν δὲ στρέψαντες ἀφίκωνται πρὸς τὸ τέλσον τῆς ἀρούρας, ἄλλος τις ἐπιὼν δίδωσιν οἴνου ποτήριον. ὁ δ' ἡμέτερος ἀροτήρ, ἐὰν μὲν διψῇ, πίνει ὕδατος· ἔχει δὲ καὶ ἄρτον τετράτρυφον ἵνα φάγῃ πεινῶν.

τοῦ ἦρος οὖν πρῶτον μὲν ἀροῖ τὴν γῆν ὁ ἀρότης τῷ ἀρότρῳ· ἀροῦντος δὲ τοῦ ἀρότου ἄροτος γίγνεται. ἔπειτα δὲ σπείρει σπέρματα ὁ σπορεὺς κριθῶν τε καὶ πυρῶν· σπείροντος δὲ τοῦ σπορέως σπόρος γίγνεται.

τοῦ δὲ θέρους θερίζει ὁ θεριστής, ἀμῶν τοὺς στάχυας· θερίζοντος δὲ τοῦ θεριστοῦ θέρος γίγνεται.

τοῦ δὲ φθινοπώρου τρύγητος γίγνεται· τρυγῶσι γὰρ καὶ βότρυας καὶ σῦκα καὶ ἐλαίας καὶ ἄλλον καρπόν, ὃν καὶ ὀπώραν καλοῦσιν.[1]

24

ΕΑΡ

ἦρος δὲ καὶ ἄγομεν ἑορτὴν Πανὶ *καὶ* Νύμφαις· *ὁ γὰρ* Πὰν *θεός ἐστι τῶν νομέων, καὶ αἱ* Νύμφαι *κατέχουσι τάς θ' ὕλας καὶ τοὺς ποταμοὺς καὶ κρήνας. τήμερον ἐξῆλθον ἐγὼ οἴκοθεν μετὰ τοῦ πατρὸς καὶ τοῦ νομέως· καὶ πορευομένων ἡμῶν, "ἰδού, ἦν δ' ἐγώ, χελιδών." σημεῖον γὰρ ἦρος τὴν χελιδόνα νομίζουσιν. ὁ δὲ πατήρ, "νὴ τὸν* Ἡρακλέα, *φησίν, αὑτηΐ· ἔαρ ἤδη." καὶ μὴν ὁρῶμεν ὁμιλίαν παιδίων· ἅπαντες δὲ κεκοσμημένοι ἦσαν πολιαῖς θριξὶ καὶ πώγωσιν, ὥσπερ γέροντες· ἔφερον δὲ εἰκόνα ξυλίνην χελιδόνος. ἐπειδὴ δ' ἀφίκοντο ἐγγὺς τῆς θύρας, ᾖδον τοιοῦτό τι ᾆσμα·*

[1] *μέλη πεποίηται περὶ τούτων ἐν σελίδι ἑκατοστῇ τριακοστῇ πρώτῃ καὶ ἐφεξῆς.*

ἦλθ' ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκή,
ἐπὶ νῶτα μέλαινα.
παλάθην σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυροῦ τε κάνιστρον.
καὶ πύρνα χελιδὼν
καὶ λεκιθίτην
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμεν ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις—· εἰ δὲ μή, οὐκ ἐάσομεν·
ἢ τὴν θύραν φέρωμεν ἢ θοὐπέρθυρον
ἢ τὴν γυναῖκα τὴν ἔσω καθημένην·
μικρὰ μέν ἐστι· ῥᾳδίως νιν οἴσομεν.
ἢν δὲ φέρῃς τι
μέγα δή τι φέροιο.
ἄνοιγ' ἄνοιγε τὴν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

ὁ δὲ μήτηρ, "χαίρετε, φησίν, καὶ δίδωμι ταῦθ' ὑμῖν· μή μ' ἀπάγητε, ἱκετεύω." καὶ ἅμα λέγουσα πλακοῦντάς τε δίδωσι καὶ τυρὸν καὶ ὀπώραν. οἱ δὲ χάριν εἰδότες πολλὴν οἴχονται.

Νυμφῶν ἄντρον ἐστὶν ἐν τοῖς ὄρεσι, μέγα τε καὶ κοῖλον· ἔνεστι δ' ἀγάλματα τῶν Νυμφῶν αὐτῶν λίθινα. σχῆμα δ' ἔχουσιν ὥσπερ χορεύουσαι, τὰς ἀλλήλων χεῖρας κατέχουσαι. ἀνυπόδητοι μὲν τοὺς πόδας, γυμναὶ δὲ τὰς χεῖρας μέχρι ὤμων, αἱ δὲ κόμαι λελυμέναι μέχρι τῶν αὐχένων· καὶ μειδιῶσιν αἱ παρθένοι ἱλαρῶς. ῥεῖ δ' ὕδωρ ἐκ τῆς πηγῆς, ὥστε καὶ λειμὼν πάνυ καλός ἐστιν ἔμπροσθεν τοῦ ἄντρου, πολλῆς καὶ μαλακῆς πόας οὔσης. ἀνάκεινται δ' ἐν τῷ

ἄντρῳ καὶ γαυλοὶ καὶ αὐλοὶ καὶ σύριγγες καὶ κάλαμοι, τῶν ποιμένων ἀναθήματα.

ἦρος δή ἐστιν ἀρχή, καὶ πάντες οἱ νομῆς ἄγουσι τὰς ἀγέλας εἰς νομήν. εὐθὺς οὖν δρόμος ἐστὶν ἐπὶ τὰς Νύμφας καὶ τὸ ἄντρον, ἐντεῦθεν δ' ἐπὶ τὸν Πᾶνα καὶ τὴν πίτυν, εἶτ' ἐπὶ τὴν δρῦν, ὑφ' ἧς καθίζοντες τὰς ἀγέλας νέμουσιν. ἀναζητοῦσι δ' ἄνθη, μέλλοντες στεφανῶσαι τοὺς θεούς· τὰ δ' ἄνθη ἄρτι ὁ ζέφυρος τρέφων καὶ ὁ ἥλιος θερμαίνων ἐξήγαγεν· ἅμα δ' εὑρίσκεται καὶ ἴα καὶ νάρκισσος καὶ ὅσα ἦρος πρῶτα γίγνεται. οἱ δὲ νομῆς ἀπ' αἰγῶν καὶ ἀπ' οἰῶν πίνουσι γάλα νέον· ἀπάρχονται δὲ καὶ σύριγγος, ὥσπερ τὰς μούσας εἰς τὴν μουσικὴν ἐρεθίζοντες· αἱ δ' ὑποφθέγγονται ἐν ταῖς λόχμαις, ὥσπερ ἀναμιμνῃσκόμεναι τῆς ᾠδῆς ἐκ μακρᾶς σιωπῆς. βόμβος δὲ γίγνεται ἤδη μελιττῶν, καὶ ἦχος ὀρνίθων, καὶ σκιρτήματα ἀρνῶν ἀρτιγεννήτων· οἱ μὲν γὰρ ἄρνες σκιρτῶσιν ἐν τοῖς ὄρεσιν, βομβοῦσι δ' ἐν τοῖς λειμῶσιν αἱ μέλιτται, ᾄδουσι δ' ἐν ταῖς λόχμαις οἱ ὄρνιθες. κατὰ ταὐτὰ οὖν οἵ τε παῖδες καὶ αἱ κόραι μιμοῦνται τὰ γιγνόμενα· ἀκούοντες μὲν ᾀδόντων τῶν ὀρνίθων ᾄδουσι καὶ αὐτοί· βλέποντες δὲ σκιρτῶντας τοὺς ἄρνας, ἅλλονται κούφοις τοῖς ποσίν· τὰς δὲ μελίττας μιμούμενοι τὰ ἄνθη συλλέγουσιν, καὶ τὰ μὲν εἰς τοὺς κόλπους τιθέασι, τὰ δὲ ταῖς Νύμφαις ἐπιφέρουσι, στεφανίσκους πλέξαντες.

καὶ ἐγὼ καὶ ὁ Θρασύστομος καὶ ἡ Ἑλένη ἅμα τοῖς ἄλλοις νέμομεν τὰ πρόβατα. ἐὰν μέν τι τῶν προβάτων πλανῆται, συστέλλομεν, καί τινα τῶν αἰγῶν θρασυτέραν γενομένην ἀπελαύνομεν ἀπὸ τῶν κρημνῶν, μὴ πέσῃ κάτω. οὕτω φρουροῦμεν εὖ τὰς ἀγέλας. κἄν ποτε σχολή τις ᾖ, καλάμους μὲν ἐγὼ ἐκτεμὼν λεπτούς, καὶ τρήσας τὰς τῶν γονάτων διαφυάς, συναρτῶν κηρῷ μαλθακῷ οὕτω σύριγγα τεκταίνομαι.

25

ΣΥΡΙΓΞ

ὅ τ᾽ αὐλὸς καὶ ἡ σῦριγξ διαφέρουσιν ὧδε. κάλαμος μὲν ὁ αὐλός, ἔχων ὀπὰς ἢ τρήματα μικρὰ καὶ στρογγύλα· καὶ αὐλεῖ ὧδε ὁ αὐλητής· κλῄσας τὰς ἄλλας ὀπάς, μίαν ἀνοίγει μόνην, δι᾽ ἧς τὸ πνεῦμα διαρρεῖ· τοῖς δὲ δακτύλοις κυβερνᾷ τὰ αὐλήματα. τῇ δὲ σύριγγι αὐλοὶ μέν εἰσι πολλοί, κάλαμος δὲ ἕκαστος τῶν αὐλῶν· ὀπὴν δ᾽ ἔχουσιν ἕκαστος μίαν ἄνωθεν οὖσαν, κάτω δὲ βεβυσμένοι εἰσὶν οἱ αὐλοί. σύγκεινται δὲ στοιχηδὸν ἄλλος ἄλλῳ συγκεκολλωμένοι· εἰσὶ δ᾽ οὐ πάντες ἴσοι, ἀλλ᾽ ἑτέρωθεν μὲν τίθεται ὁ βραχύτατος, ἑτέρωθεν δὲ ὁ μακρότατος, οἱ δὲ μεταξὺ κατὰ λόγον τεταγμένοι, ὥσθ᾽ ὅσῳ τις ἐλάττων τοῦ ἑτέρου, τοσούτῳ καὶ τοῦ ἑτέρου μείζων· καὶ μὴν ὅ γ᾽ ἐν μέσῳ ἡμισύς ἐστι τοῦ μακροτάτου. αἰτία δὲ τῆς τοιαύτης τάξεως ἡ ἁρμονία· οἱ γὰρ ἄκροι τῶν καλάμων ὁ μὲν μακρότατος βαρυτάτην ἔχει φωνήν, ὁ δὲ βραχύτατος ὀξυτάτην, οἱ δὲ μεταξὺ κατὰ λόγον ἐντείνουσιν ἢ χαλῶσι τὸν τόνον. ὁ δὲ συρίζων τοὺς μὲν ἄλλους καλάμους ἀφίησιν ἐλευθέρους, τούτῳ δὲ τὸ χεῖλος ἐπιτίθησιν ὃν ἂν ἐθέλῃ μὴ σιωπᾶν, μεταπηδᾷ δ᾽ ἄλλοτ᾽ ἐπ᾽ ἄλλον, κατὰ τὴν ἁρμονίαν.

26

ΘΕΡΟΣ

ὅταν ἦρος ᾖ τέλος, θέρους δ᾽ ἀρχή, πάντα δή ἐστιν ἐν ἀκμῇ· καρπούς τε γὰρ αἰσθανόμεθα ἐπὶ δένδρων ὄντας καὶ στάχυας ἐν ἀγροῖς. ὡς ἡδεῖα ἀκούειν τεττίγων ἡ ἠχή, ὡς γλυκεῖα ὀπώρας ἡ ὀσμή, ὡς τερπνὴ ἡ βληχὴ τῶν προβάτων. καὶ ᾔκασεν ἄν τις καὶ τοὺς ποταμοὺς ᾄδειν ῥέοντας, καὶ τοὺς ἀνέμους συρίζειν



Πὰν ἔχων σύριγγα.

ἐμπνέοντας ταῖς πίτυσιν. ἐγὼ δὲ καὶ ὁ ἀδελφὸς θαλπομένω εἰς τοὺς ποταμοὺς καταβαίνομεν, καὶ ποτὲ μὲν λουόμεθα, ποτὲ δὲ θηρῶμεν τοὺς ἰχθύας, ἔστιν δ' ὅτε πίνομεν ὡς σβέσοντες τὸ ἔνδοθεν καῦμα. ἡ δ' ἀδελφὴ ἡ Ἑλένη, μετὰ τὸ ἀμέλξαι τὰς οἶας καὶ τῶν αἰγῶν τὰς πολλάς, πολλὰ ἔχει πράγματα πηγνῦσα τὸ γάλα· δειναὶ γὰρ αἱ μυῖαι λυπεῖν καὶ δάκνειν. τὸ δ' ἐντεῦθεν, ἀπολουσαμένη τὸ πρόσωπον, πίτυος στεφανοῦται κλάδοις, καὶ τῇ νεβρίδι ζώννυται, καὶ τὸν γαυλὸν πλήσασα οἴνου καὶ γάλακτος, κοινὸν μεθ' ἡμῶν ποτὸν ἔχει. περὶ μεσημβρίαν δὲ κοιμώμεθα ὑπὸ τῶν δένδρων.

27

ΤΕΤΤΙΞ

χθὲς ἡμῖν γελοῖόν τι ἐγένετο. ἐκλινόμεθα γὰρ χαμαὶ περὶ μεσημβρίαν, καὶ ὅ τ' ἀδελφὸς καὶ ἡ Ἑλένη ἐκάθευδον, ἐγὼ δὲ ἥμενος ἐσύριζόν τι μέλος τῇ σύριγγι. καὶ ἰδού, χελιδὼν διώκει τέττιγα, ὁ δὲ τέττιξ φεύγων κατέπεσεν ἐς τὸν τοῦ Θρασυστόμου κόλπον· διώκουσα δ' ἡ χελιδὼν ταῖς πτέρυξιν ἥψατο τῶν παρειῶν τῆς Ἑλένης· ἡ δ' οὐκ εἰδυῖα τὸ γεγονός, μέγα βοήσασα ἐξηγέρθη. ἐγὼ δ' ἐγέλων τὸν φόβον αὐτῆς, ὁ δὲ τέττιξ συνεχῶς ᾖδεν ὢν ἐν τῷ κόλπῳ τοῦ Θρασυστόμου. ἐξεγείρεται δ' εὐθὺς ὁ Θρασύστομος, καὶ ἀπομάττει τοὺς ὀφθαλμοὺς ὡς νυστάζων· ἐγὼ δὲ καθίημι τὴν χεῖρα εἰς τὸν κόλπον καὶ ἐξάγω τὸν τέττιγα, οὐδὲ οὕτως σιωπῶντα.

28

ΑΠΑΤΗ

μετ' ὀλίγον δὲ χρόνον ἄλλο τι γελοιότερον ἐγένετο. ἔστι γάρ τις τῶν γειτόνων παῖς, Χαρικλῆς τοὔνομα, ὃς

τοιάνδε τέχνην ἐμηχανήσατο. λαβὼν δέρμα λύκου μεγάλου, περιέτεινε τῷ σώματι, ὥστε τοὺς μὲν ἐμπροσθίους πόδας περιδῆσαι περὶ τῶν χειρῶν, τοὺς δὲ ὀπισθίους περὶ τῶν σκελῶν, καὶ τοῦ στόματος τὸ χάσμα ἐσκέπαζε τὴν κεφαλὴν ὥσπερ ἀνδρὸς ὁπλίτου κόρυς. κοσμήσας οὖν ἑαυτὸν κατὰ θηρίον ὡς μάλιστα, παρὰ τῇ πηγῇ ἑαυτὸν κρύπτει ἐξ ἧς ἔπινον αἱ αἶγες καὶ τὰ πρόβατα. περὶ δὲ τὴν πηγὴν πᾶς ὁ τόπος πλήρης ἦν ἀκανθῶν καὶ βάτων, ὥστε ῥᾳδίως ἂν ἔλαθεν ἐκεῖ λύκος ἀληθινὸς λοχῶν. ἐκεῖ κρύψας ἑαυτὸν ὁ Χαρικλῆς περιέμενε τὴν ὥραν τοῦ ποτοῦ, ἐλπίσας δὴ φοβήσειν ἡμᾶς τῷ σχήματι.

καὶ χρόνος οὐ πολὺς ἐν μέσῳ, καὶ πάρεσμεν ἡμεῖς, ἐλαύνοντες τάς τε αἶγας καὶ τὰ πρόβατα. ἕπονται δὲ καὶ οἱ κύνες, οἱ φύλακες τῶν αἰγῶν καὶ τῶν προβάτων, ὀσφραίνονταί τε τοῦ δέρματος καὶ ἐσπίπτουσιν ἐς τὰ ἴχνη· εὐθὺς δ' ἐπιφερόμενοι πρὸς αὐτὸν ὡς λύκον ὄντα δάκνουσι, καὶ μέγα δή τι ὑλακτοῦσιν. ἡμεῖς δὲ ἐπικελεύομεν, "εὖ γε, εὖ γε, ὦ κύνες, ἕπεσθε, ὦ κύνες." ὁ δὲ χρόνον τινὰ ἡσύχαζεν αἰδούμενος δή· ἐπεὶ δ' οἱ κύνες περισπάσαντες τὸ δέρμα, ἔδακνον τὸ σῶμα ἤδη, μέγα οἰμώξας βοηθεῖν ἠξίου ἡμᾶς. καὶ δὴ καὶ ἡμεῖς ἀνακαλεσάμενοι τοὺς κύνας ἡμερώσαμεν, τὸν δὲ Χαρικλέα ἀγαγόντες πρὸς τὴν πηγὴν ἀπενίψαμεν τὰ δήγματα, καὶ διαμασησάμενοι φλοῖον χλωρὸν πτελέας, ἐπεπάσαμεν. οὕτω δὴ ἐτελεύτησεν ἡ ποιμενικὴ παιδιά.

ἀλλὰ φοβούμενοι μὴ ὡς ἀληθῶς λύκος ἐμπέσῃ, ἐμηχανώμεθα μηχανὴν τοιάνδε. σιρὸν μὲν κατωρύξαμεν, τὸ μὲν εὖρος ὀργυιᾶς, τὸ δὲ βάθος τεττάρων. καὶ μὴν τό γε χῶμα τὸ πολὺ ἐσπείρομεν, μακρὰν κομίσαντες· ξυλὰ δὲ ξηρὰ καὶ μακρὰ ἐτείναμεν ὑπὲρ τοῦ χάσματος, καὶ κατεπάσαμεν τὸ περιττὸν τοῦ χώματος ὥστε ὅμοιον γενέσθαι τῇ πρότερον γῇ.

ὀρύξαντες δὲ τοιοῦτο ὄρυγμα παρὰ τῇ κρήνῃ, λύκου μὲν ἡμάρτομεν, πρόβατα δὲ κατέπεσεν ἓξ εἰς τὸ ὄρυγμα. ὥστε τὸ λεγόμενον φεύγοντες τὸν καπνὸν ἐπέσομεν ἐς τὸ πῦρ.

29

ΣΦΗΞ ΚΑΙ ΜΕΛΙΤΤΑ

ἐκάθητο μὲν ἡ Ἑλένη ψάλλουσα τὴν κιθάραν· ἐξαίφνης δὲ σφὴξ ἐπιπτὰς ἔδακε τὴν χεῖρα, ἡ δ' ἀνεβόα. καὶ ἡ τροφὸς ἐξέδραμε· καὶ παρῄνει, κελεύουσα μηδὲν ἄχθεσθαι· θέλξειν γὰρ ῥᾳδίως τὸ τραῦμα, καὶ παύσειν τῆς ἀλγηδόνος δύο ἐπᾴσασα ῥήματα· διδαχθῆναι γὰρ ὑπό τινος Αἰγυπτίας ἐπῳδὴν τῶν τε σφήκων καὶ τῶν μελιττῶν. καὶ ἅμ' ἐπῇδε, ἅμα δὲ ἡ Ἑλένη ἔφη μετὰ μικρὸν ῥᾴων γενέσθαι. ἐγὼ δὲ εἶπον, "ὦ φιλτάτη τροφέ, θέλξον καὶ ἐμέ· ἀλγῶ γὰρ τὴν κεφαλήν." ἡ δ' ἔφη, "καὶ τίς σ' ἐβάσκηνεν;" ἐγὼ δ' οὐκ ἔφην εἰδέναι. ἡ δ' ἐπᾴσασα ἄλλο τι, εὐθὺς ἔπαυσε κἀμὲ τοῦ ἄλγους. ἐπᾴσασα δὲ τὴν ἐπῳδήν, εἶπέ τινα ἡμῖν μῦθον περὶ τῆς μελίττης, παραμύθιον τῶν πόνων. ἡ γὰρ μέλιττά τοι ὁμοία μέν πώς ἐστι τῷ σφηκί, θαυμασιωτάτη δ' ἐστὶ διὰ τάδε. τὰς μελίττας τρέφομεν ἐν σίμβλοις· αἱ δὲ περιπέτονται περὶ τὰ ἄνθη, καὶ συλλέγουσι τὸ μέλι ἀπὸ τῶν ἀνθῶν, καὶ θησαυρίζουσιν αὐτὸ ἐν τοῖς σίμβλοις· ἔχουσι δὲ καὶ πολιτείαν, βασιλεὺς γὰρ ἄρχει αὐτῶν, καὶ ποιοῦσι πάντα κατὰ κόσμον. ἀλλ' ἔχουσι καὶ αὐταὶ κέντρα, οἷς κεντοῦσιν ἡμᾶς καὶ ἄλγος ἐμποιοῦσιν. ἡ δὲ τροφὸς εἶπε τοιάδε·

"ἆρ' ἴστε, ὦ φίλτατε, πῶς ἐκτήσατο τὸ κέντρον ἡ μέλιττα; ἄκουε δή. αἱ μέλιτται, ὡς καὶ οἶσθα, μέλι συλλέγουσιν ἀπ' ἀνθῶν, καὶ ἀποτιθέασιν ἐν τοῖς σίμβλοις· ἀλλὰ οἱ ἄνθρωποι φιλοῦσιν ἀφαιρεῖν αὐταῖς

τὸ μέλι· ὥστε αἱ μέλιτται, χαλεπῶς φέρουσαι τοῦτο, ἤθελον κωλύειν μὴ ἀφαιρεῖν. ἔπεμψαν οὖν πρεσβείαν ὡς τὸν Δία, φέρουσαν δῶρα. ἐπεὶ δ' ἀφίκοντο ἐπὶ τὸν Ὄλυμπον αἱ μέλιτται, ἀπέδοσαν τὰ δῶρα τῷ Διΐ· ὁ δὲ Ζεὺς ἔχαιρεν ἰδὼν τὰ δῶρα, καὶ ἔφη· 'ἀντὶ τούτων τῶν δώρων, ὦ εὐσεβέσταται μέλιτται, αἰτεῖτέ με καὶ ὑμεῖς δῶρον· καὶ δώσω ὅ τι ἂν βούλησθε.' ἡ δὲ γεραιτάτη τῶν μελιττῶν ἠμείψατο τάδε· 'ὦ Ζεῦ, εὔχομαί σέ μοι δοῦναι κέντρον ἔχειν. καὶ γὰρ κλέπται πολλάκις φοιτῶσι παρὰ τὸν σίμβλον τὸν ἐμόν, καὶ κλέπτουσι τὸ μέλι· ἐν νῷ ἔχω οὖν κεντεῖν τοὺς κλέπτας τούτους, ἵνα μηκέτι φοιτήσωσι παρ' ἐμέ.'

"ὁ δὲ Ζεὺς ἠρώτησε· 'καὶ ποῖοί τινές εἰσιν οἱ κλέπται, οἵπερ κλέπτουσι τὸ μέλι;' ἡ δ' ἔφη, 'ἔστι τοι ζῷα μέγιστα δή, ὥσπερ δένδρα, καὶ βαδίζει ὀρθά, οὐχ ὥσπερ τὰ ἄλλα τῶν ζῴων.' ὁ δὲ θεὸς εὐθὺς κατέμαθε ἀνθρώπους ὄντας τοὺς κλέπτας· καὶ ἐπειδὴ ἐφίλει καὶ τὰς μελίττας καὶ τοὺς ἀνθρώπους, εἶπεν· 'ὦ μέλιττα, ἐπειδὴ ἀξιοῖς κέντρον ἔχειν, ἔχε δὴ τὸ κέντρον· κεντήσεις τὸν κλέπτην καὶ λυπήσεις αὐτόν, ἀλλὰ λείψεις τὸ κέντρον ἐν τῇ ὠτειλῇ· ὥστε λυπὴν μὲν τῷ κλέπτῃ ἐμποιήσεις, θάνατον δὲ σεαυτῇ.'"

καὶ ἐγὼ ἐβόων, "οἴμοι τῆς μελίττης· τοῦτό τοι δῶρον ἄδωρόν ἐστιν, ὥσπερ λέγουσι τὰ τῶν ἐχθρῶν·

"ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα."

30

ΧΟΛΟΣ

παῖς εἰμ' ἐγὼ πεντεκαίδεκα ἔτη γεγονώς, ὁ δ' ἀδελφὸς δέκα ἔτη γεγονώς ἐστιν, ἡ δ' ἀδελφὴ ἑπτακαίδεκα ἔτη γεγονυῖα. ὁπόσα μὲν ἔτη γεγονώς ἐστιν ὁ πατήρ μου, οὐκ οἶδ' ἔγωγε, νομίζω δὲ ἑκατὸν

μάλιστα· καὶ γὰρ ἔχει τὰς τρίχας πολιάς, ἔχει δὲ καὶ μέγαν τὸν πώγωνα καὶ μεγάλην τὴν φωνήν. ὁ πατὴρ δ' ὅταν ὀργίζηται συσπᾷ δὴ τὰς ὄφρυας, ὥστε ῥυτίδας φαίνεσθαι ἐν τῷ μετώπῳ, καὶ ταυρηδὸν βλέπων βοᾷ μεγάλῃ τῇ φωνῇ, "ἐς κόρακας, ὦ κάθαρμα· εἴθε μὴ ἐγένου τὴν ἀρχήν." ἡ δὲ μήτηρ, "εὐφήμει, φησίν, ὦ ἄνερ· σὸς γάρ ἐστιν ὁ παῖς, χρηστοῦ πατρὸς νεόττιον." ὁ δὲ βοᾷ μάλ' αὖθις, "σὸς μὲν οὖν, κακοῦ κόρακος κακὸν ᾠόν." ἡμεῖς δὲ φοβούμενοι λανθάνομεν φεύγοντες.

31

ΦΑΤΤΑ

ὁ βουκόλος ἡμῶν ὁ γεραίτατος πολλοὺς μὲν οἶδε μύθους τῶν πάλαι, πολλάκις δ' ἡμῖν διηγεῖται. κοιμωμένων δέ ποτε περὶ μεσημβρίαν ἡμῶν ἐν τῇ σκιᾷ, ἀκούομεν φάττης στενούσης ἐν τῇ λόχμῃ· ἡ δ' Ἑλένη, "φεῦ τῆς ὄρνιθος, ἦ δ' ἥ, ὡς οἰκτρῶς ἀναστένει." ὁ δὲ βουκόλος, "καὶ εὖ ποιοῦσα, φησίν· ἦν γάρ ποτε παρθένος καὶ αὐτή." ἡ δὲ φησίν, "εἰ γὰρ λέγοις ἡμῖν τὸν μῦθον παραμύθιον τοῦ θάλπους· μὴ ἄλλως ποίου." ὁ δ' οὐδὲν φθονῶν λέγει τοιάδε·

"ἴσθι οὖν τὴν φάτταν, ὦ Ἑλένη, παρθένον γενομένην καλήν· ἔνεμε δὲ βοῦς πολλὰς οὕτως ἐν ὕλῃ· ἦν δ' ἄρα καὶ μουσική τις. καὶ ἐτέρποντο αἱ βόες ταῖς ᾠδαῖς, καὶ ἔνεμε τὰς βοῦς οὔτε καλαύροπι οὔτε κέντρῳ χρωμένη· ἀλλὰ καθημένη ὑπὸ πίτυος, καὶ στεφανίσκον ἔχουσα πίτυος, ᾖδε Πᾶνα καὶ τὴν πίτυν, αἱ δὲ βόες παρέμενον ἡδόμεναι τῇ ᾠδῇ. παῖς δ' ἦν πέλας νέμων βοῦς, ὢν δὲ καὶ αὐτὸς οὐκ ἄμουσος, φιλονεικῶν δ' ὡς ἀνὴρ πρὸς γυναῖκα, μέλος ᾖδεν ἀντῳδόν· ᾄδων δ' ἔθελξε τὰς βοῦς τὰς τῆς παρθένου, καὶ τῶν βοῶν ὀκτὼ αἱ ἄρισται ᾤχοντο

φερόμεναι ὡς αὐτόν. ἤχθετο δ' ἡ παρθένος τὰς μὲν βοῦς ὀλέσασα, τῇ δ' ᾠδῇ ἡττηθεῖσα· καὶ ηὔχετο τοῖς θεοῖς ὄρνις γενέσθαι πρὶν οἴκαδ' ἀφικέσθαι. ἐπείθοντο δ' οἱ θεοί, καὶ μεταλλάττουσιν αὐτῇ τὴν φύσιν, καὶ ἐγένετο αὕτη ἡ ὄρνις, ἡ φάττα, μουσικωτάτη οὖσα· στένει δ' ἥδε ἔτι καὶ νῦν, μηνύουσα τὴν συμφοράν, ὅτι ζητεῖ τὰς βοῦς τὰς θελχθείσας."

32

ΤΡΥΓΗΤΟΣ

ἀκμαζούσης τῆς ὀπώρας ὁ τρύγητος γίγνεται· γιγνομένου δὲ τοῦ τρυγήτου, πᾶς ἐστι κατὰ τοὺς ἀγροὺς ἐν ἔργῳ. ὁ μὲν γὰρ ληνοὺς ἐπισκευάζει· ὁ δὲ πίθους ἐκκαθαίρει· οἱ δὲ πλέκουσιν ἀρρίχους. δεῖ δρεπάνης μικρᾶς ἐς βότρυος τομήν, δεῖ λίθου ὥστε θλῖψαι τοὺς βότρυας, δεῖ λύγου ξηρᾶς πρὸς δᾷδας, ἵνα τὸ γλεῦκος ὑπὸ φάους κομισθῇ. ἡμεῖς οὖν μετὰ τῶν ἄλλων μετέχομεν τοῦ ἔργου. τοὺς μὲν βότρυας ἐν ἀρρίχοις βαστάζομεν καὶ ἐς τὰς ληνοὺς ἐμβάλλομεν, ἐμβαλόντες δὲ πατοῦμεν γυμνοῖς τοῖς ποσί· ἡ δ' Ἑλένη τροφὴν παρασκευάζει τοῖς τρυγῶσι, καὶ ἐγχεῖ οἶνον αὐτοῖς, καὶ τῶν ἀμπέλων τὰς ταπεινοτέρας αὐτὴ τρυγᾷ.

ὅταν δὲ μετ' ὀλίγας ἡμέρας τέλος γένηται τοῦ τρυγήτου, πάντες ὥσπερ κύνες ἐκ δεσμῶν λυθέντες σκιρτῶσι, συρίζουσιν, ᾄδουσιν. οἱ δὲ γέροντες ἥσυχοι τῆς ἑσπέρας κατακλινόμενοι, πολλὰ πρὸς ἀλλήλους λέγουσιν, οἷα δὴ γέροντες· ὡς ἔνεμον ἡνίκ' ἦσαν νέοι, ὡς δὲ πολλὰς λῃστῶν διαδρομὰς διέφυγον· ἐσεμνύνετό τις ὡς λύκον κτείνας· ἄλλος δ' ὡς μόνου τοῦ Πανὸς δεύτερα συρίζων· οὗτος δὲ κόμπος ἦν Μελήτου, ἀνδρὸς βουκόλου, πρεσβύτου, σισύραν ἐνδεδυμένου καὶ πήραν ἐξηρτημένου, καὶ καρβατίνας ὑποδεδεμένου.

ἐδέοντο οὖν αὐτοῦ πάντες συρίζειν· ὁ δὲ καίπερ γέρων ὢν τέλος δὴ συνῄνει, καὶ μετεπέμψατο τὴν ἑαυτοῦ σύριγγα. ἐν ᾧ χρόνῳ δὲ ἀπῆν ὁ παῖς ὁ κομίζων τὴν σύριγγα, λέγει ἡμῖν ὁ Μέλητος *τὸν περὶ τῆς σύριγγος μῦθον, ὅνπερ ᾖσεν αὐτῷ* Σίκελος *αἰπόλος τράγον ληψόμενος μισθόν. ὁ δὲ μῦθος ἦν τοιόσδε·*

"αὕτη ἡ σῦριγξ, ἦ δ' ὃς ὁ Μέλητος, *οὐκ ἦν ὄργανον τὴν ἀρχήν, ἀλλὰ παρθένος καλὴ καὶ μουσική. ὁ δὲ* Πὰν *ἀκούσας τῆς παρθένου πάνυ καλῶς ᾀδούσης, ἤρα αὐτῆς καὶ γαμεῖν ἤθελεν· ἡ δ' ἐγέλα λέγουσα, 'ποῖός τις σύ γ' ἐραστής, οὔτε τράγος ὢν οὔτ' ἄνθρωπος;' ἴστε γὰρ τὸν* Πᾶνα *τραγικὼ ἔχοντα τὼ σκέλει. καὶ ὁ μὲν ὠργίζετο, ἡ δ' ἔφευγε· φεύγουσα δὲ καὶ καμοῦσα, ἐς δόνακας ἔκρυψεν ἑαυτήν, καὶ δὴ καὶ ὡς φασὶν φρούδη γίγνεται ἢ ἐς ἕλος ἢ καταδύσασα ἐς τὴν γῆν. ὁ δὲ* Πὰν *κατατεμὼν τοὺς δόνακας, εἶτα ἤθελεν συζεῦξαι, ὡς μόρια δὴ τοῦ σώματος τῆς παρθένου· συζεύξας δὲ ἐφίλει, καὶ ἐν ᾧ ἐφίλει τοὺς δόνακας, ἐπιθεὶς τὸ στόμα καὶ ἐμπνέων κατὰ τύχην, τὸ πνεῦμα φωνὴν ἐνεποίει, καὶ ἔστενον ἤδη οἱ δόνακες. ὁ* Πὰν *οὖν μαθὼν ταῦτα ἐξεῦρε τὸ ὄργανον ὅπερ καλοῦμεν σύριγγα."*

κατῆλθε δ' ἤδη ὁ παῖς φέρων τοῦ Μελήτου *τὴν σύριγγα· ἀναστὰς οὖν ὁ* Μέλητος, *καὶ καθίσας ἐν καθέδρᾳ, πρῶτον μὲν ἐπειρᾶτο τῶν καλάμων, εἰ εὔπνοι· εἶτα μαθὼν τὸ πνεῦμα διατρέχον εὖ, ἐνέπνει. καὶ ἐνόμιζέ τις ἂν αὐτὸν τὸν* Πᾶνα *συρίζειν, οὕτω καλὸν ἦν τὸ σύριγμα.*

οἱ μὲν οὖν ἄλλοι σιωπῇ ἔκειντο τερπόμενοι· Τίτυρος *δὲ ἀναστάς, καὶ κελεύσας συρίζειν διονυσιακὸν μέλος, ἐπιλήνιον αὐτοῖς ὄρχησιν ὠρχήσατο· καὶ ἐῴκει ποτὲ μὲν τρυγῶντι ποτὲ δὲ φέροντι ἀρρίχους, εἶτα πατοῦντι τοὺς βότρυας, εἶτα πληροῦντι τοὺς πίθους,*

εἶτα πίνοντι τοῦ γλεύκους. ταῦτα πάντα οὕτως εὖ ὠρχήσατο ὁ Τίτυρος, ὥστ' ἐδόκουν βλέπειν καὶ τὰς ἀμπέλους καὶ τὴν ληνὸν καὶ τοὺς πίθους καὶ ἀληθῶς Τίτυρον πίνοντα.

τοῦτο δὲ κινεῖ ἐμέ τε καὶ τὴν Ἑλένην· καὶ εὐθὺς ἀναστάντες ὠρχούμεθα τὸν μῦθον τὸν τῆς Σύριγγος. ἐγὼ μὲν Πᾶνα ἐμιμούμην, ἡ δὲ Σύριγγα. ἐγὼ μὲν ἱκέτευον, ἡ δὲ καταφρονοῦσα ἐμειδία· ἐδίωκον μὲν ἐγώ, ἐπ' ἄκροις τοῖς ποσὶ τρέχων, τὰς χηλὰς τοῦ Πανὸς μιμούμενος· ἡ δὲ ἔφευγε, καὶ φεύγουσα ἔκαμνεν. ἔπειτα ἡ Ἑλένη κατέφυγεν ἐς τὴν ὕλην κρύψουσ' ἑαυτήν, ἐγὼ δὲ λαβὼν τὴν Μελήτου σύριγγα, συρίζω· ὥσθ' ὁ Μέλητος θαυμάσας φιλεῖ τέ μ' ἀναπηδήσας, καὶ τὴν σύριγγα χαρίζεταί μοι, καὶ χαίρει καταλιπὼν αὐτὴν διαδόχῳ τοιούτῳ.

33

ΑΤΥΧΙΑ

τήμερον ἐγένετο κακὸν μέγα· καὶ γὰρ ὁ Εὐκράτης ἐρρίφθη ἀφ' ἵππου.

ἔστι μὲν φίλος μου ὁ Εὐκράτης καὶ ὁμῆλιξ, ναίει δὲ οὐ πέλας. οὗτος δὲ ἔλαβε νεωστὶ δῶρον ἀπὸ τοῦ πατρός, ἵππον καλὸν καὶ μέγαν. ἔτυχεν δ' ὁ πατὴρ τοῦ Εὐκράτους παρὼν μεθ' ἡμῶν, καὶ ἦλθέ τις τῶν οἰκετῶν αὐτοῦ, σημαίνων τῷ προσώπῳ κακόν τι· ὁ δὲ πατὴρ ἀνεβόα, "κακόν τι γέγονε τῷ παιδί." πρὸς ταῦτα ἀντημείψατο ὁ οἰκέτης, "τέθνηκεν ὁ παῖς." ὁ δὲ πατὴρ ὥσπερ κωφὸς γενόμενος ἐκάθητο σιωπῶν· ὁ δ' οἰκέτης λέγει· "ἀνέβη δὴ ὁ Εὐκράτης ἐπὶ τὸν ἵππον, ὃν σὺ ἔδωκας αὐτῷ, καὶ πρῶτον μὲν ἤλαυνεν ἠρέμα· ἐπεὶ δὲ δύο ἢ τρεῖς δρόμους περιῆλθεν, ἐπέσχε τὸν ἵππον, καὶ τὸν ἱδρῶτα κατέψα καθήμενος, τοῦ ῥυτῆρος ἀμελήσας. ἀπομάττοντος δὲ τοὺς ἱδρῶτας

ἀπὸ τῆς ἕδρας, ψόφος ὄπισθεν γίγνεται, καὶ ο ἵππος ἐκταραχθεὶς πηδᾷ ὄρθιος καὶ φέρεται, ἐνδακὼν τὸν χαλινόν, καὶ σιμώσας τὸν αὐχένα, καὶ τὴν ἔθειραν φρίξας. καὶ οἰστρηθεὶς φόβῳ, ἄνω τε καὶ κάτω πηδᾷ· ὁ δὲ παῖς ὁ κακοδαίμων ἄλλοτε ἐπὶ οὐρὰν κατολισθάνει, ἄλλοτ' ἐπὶ τράχηλον κυβιστᾷ· καὶ ἦν τῆς τύχης, οὐκέτι δυνάμενος κρατεῖν τῶν ῥυτήρων. μετ' ὀλίγον οὖν ὁ ἵππος ἐκτρέπεται τῆς ὁδοῦ καὶ εἰς ὕλην εἰσεπήδησε, καὶ εὐθὺς τὸν παῖδα προσπαίει δένδρῳ· ὁ δ' ἐκκρούεται ἐξ ἕδρας, τὸ δὲ πρόσωπον σπαράττεται τοῖς κλάδοις τοῦ δένδρου καὶ αἰσχροῖς τραύμασι περιδρύπτεται. καὶ μὴν οἱ ῥυτῆρές γε περιδεθέντες οὐκ ἀφῆκαν τὸ σῶμα, ἀλλὰ εἷλκον ὀπίσω. ὁ δ' ἵππος ἔτι μᾶλλον ταραττόμενος τῷ πτώματι καὶ ἐμποδιζόμενος ἐς τὸν δρόμον, καταπατεῖ τὸν ἄθλιον, ἐκλακτίζων· ὥστ' ἰδών τις οὐκ ἂν γνωρίσειεν αὐτόν."

ταῦτ' ἀκούσας ὁ πατὴρ χρόνον μέν τινα ἐσίγα, εἶτ' ἀναστὰς ἔτι σιγῶν ἀπῆλθεν· αἱ δὲ γυναῖκες κλαίουσαι ἐπλήρουν τὴν οἰκίαν κωκυμάτων.

34

ΑΣΚΛΗΠΙΟΣ

οἷα ἔπαθον, ἄναξ Παιών· οἷα θαύματα εἶδον, αὐτὸς ὁρῶν καὶ ἀκούων, αὐτόπτης γενόμενος. ὦ μεγάλων θεῶν. ἀλλὰ δεῖ πάντα λέγειν ἐφεξῆς.

ὁ ἀδελφὸς ἐνόσησε· ὦ τοῦ τάλανος. ἐπύρεττε σφόδρα· ἐμφύσημα κακόν, πολλὴ δίψα, παρέλεγε, παρεφέρετο· λήθη εἶχε πάντων ὅσα λέγοι· ἐρρίγωσεν, ἐθερμάνθη· βοή, ταραχή, λόγοι πολλοί, κῶμα. τί ποιῶμεν; εὐχόμεθα τοῖς θεοῖς, τοῖς ἥρωσι· θύομεν ἱερά· οὐδὲν ὄφελος. ἔδοξεν οὖν ἐγκοιμᾶσθαι ἐν τῷ Ἀσκληπιείῳ.

ἐπορευόμεθα ἐγώ τε καὶ ὁ πατὴρ καὶ οἰκέται τινές, ὁ δ᾽ ἀδελφὸς ἐν ἁμάξῃ, οἰκτρῶς διακείμενος.

ἧμεν οὖν πρὸς τὸ τέμενος τοῦ θεοῦ. ἔπειτα δὲ βωμῷ καθωσιώσαμεν τὰ πόπανα καὶ τὰ προθύματα, τὸν δὲ πέλανον εἰσεβάλομεν εἰς τὸ πῦρ· ταῦτα δὲ ποιήσαντες, κατεκλίναμεν τὸν παῖδα, καὶ ἡμεῖς παρ᾽ αὐτῷ κατεκλίθημεν, ἔχοντες στιβάδα ἕκαστος. καὶ ἦσαν πολλοὶ καὶ ἄλλοι ἐγκοιμώμενοι, παντοδαπὰ νοσήματα ἔχοντες. καὶ ὁ πρόπολος ἐλθὼν ἀπέσβεσε τοὺς λύχνους· ἀποσβέσας δὲ ἡμῖν παρήγγειλεν ἐγκαθεύδειν· "καὶ ἐάν τις, φησίν, ψόφου αἴσθηται, σιγάτω." ἡμεῖς δὲ κοσμίως κατεκείμεθα. ἀλλ᾽ ἐγὼ οὐκ ἠδυνάμην καθεύδειν· ἔπειτα ἀναβλέψας ὁρῶ τὸν ἱερέα συλλέγοντα τοὺς φθοῖς καὶ τὰς ἰσχάδας ἀπὸ τῆς ἱερᾶς τραπέζης, περιῆλθε δὲ πάντας τοὺς βωμοὺς ἐν κύκλῳ, ζητῶν τὰ πόπανα.

καὶ ἰδοὺ ὁ θεός, ὥσπερ νεανίας τις καλός· περιῄει δὲ μετὰ προσπόλων τινῶν, καί, ὡς ἐδοκεῖ, εἵποντο αὐτῷ αἱ θυγατέρες, Ἰασὼ καὶ Πανάκεια. καὶ ὁ θεὸς ἐσκόπει τὰ νοσήματα. ἐγὼ δὲ δείσας ἐνεκαλυψάμην, ἑώρων δὲ πάντα ὅμως δι᾽ ὀπῆς τινος τοῦ τριβωνίου. ὁ δ᾽ ἔδωκε τῷ μὲν φάρμακον, τῷ δὲ κατέπλασεν τὰ βλέφαρα, καὶ ἄλλοις ἄλλως ἐχρῆτο. μετὰ ταῦτα τῷ Θρασυστόμῳ παρεκαθέζετο· καὶ πρῶτον μὲν ἐφήψατο τῆς κεφαλῆς καὶ τῆς χειρός, οὐκ οἶδα πῶς· εἶτ᾽ ἐπόππυσεν· καὶ ἰδού, ἐξῃξάτην δύο δράκοντε ἐκ τοῦ ναοῦ, ὑπερφυῶς ὡς μεγάλω. τούτω δὲ τὼ δράκοντε περιελειχέτην τὸ πρόσωπον, ὁ δὲ παῖς ἐκοιμᾶτο. καὶ ὡς διέλαμψεν ἡμέρα, ἐξηγέρθη ὑγιής.

ὁ δὲ πατὴρ εὐθὺς ἔθυσε χοῖρον τῷ θεῷ, εὐχόμενος ὧδε· "χαίροις, ἄναξ Παιών, ἥ τε Κορωνὶς ἥ σ᾽ ἔτικτεν καὶ ὁ πατὴρ Ἀπόλλων, καὶ Ὑγίεια καὶ Ἰασὼ καὶ Πανάκεια χαίροιεν· ἵλεῳ δεῦτε, δέξαισθε τὸν χοῖρον ὃν θύω, ἴατρα τῆς νόσου ἣν ἀπέψησας ταῖς

ἠπίαις χερσίν, ὦ ἄναξ.” ταῦτ᾽ εἰπών, ἀνέθηκε πίνακα. ἔπειτα προσῄει ὁ νεωκόρος λέγων, “καλά σοι τὰ ἱερά, ὦ ἄνερ. ἰὴ ἰὴ Παιών, εὐμενὴς εἴης ἐπὶ καλοῖς ἱεροῖς τούτῳ τε καὶ τοῖς υἱοῖς. ἰὴ ἰὴ Παιών· οὕτως εἴη ταῦτα.” καὶ ὁ πατὴρ λέγει πρὸς ἐμέ, “ἔνθες τὸν πέλανον εἰς τὴν τρώγλην τοῦ δράκοντος εὐφημῶν.” δόντες δὲ τῷ νεωκόρῳ τὴν μοῖραν τοῦ χοίρου, ἀπῆμεν χαίροντες οἴκαδε.

35
ΤΑ ΤΗΣ ΜΑΝΔΡΑΣ

ἐξήλθομεν νεωστὶ πρὸς θήραν ἐγώ τε καὶ ὁ πατήρ· καὶ τῆς ἑσπέρας ὁρῶμεν σταθμόν τινα οὐ πολὺ ἀπέχοντα. οἱ δὲ κύνες αὐτοῦ ᾔσθοντο προσιόντων ἡμῶν, καὶ ὑλάκτουν μέγα, καὶ δὴ καὶ ἔδακον ἄν, εἰ μὴ ἡμεῖς ἐκαθίσαμεν. ἀλλ᾽ εὐθὺς ἐξῆλθεν ἐκεῖνος ὃς τοῦτον τὸν σταθμὸν ᾠκοδόμησε· καὶ ἐσόβει μὲν τοὺς κύνας, ἡμᾶς δὲ φιλίως ἠσπάζετο, λέγων, “χαῖρε, ὦ ξένε, καὶ σύ, ὦ παῖ.” ὁ δὲ πατήρ, “χαῖρε καὶ σύ, φησίν, ὦ γέρον· καὶ γὰρ εὖ ἴσθι ἀπολομένους ἂν ἡμᾶς ὑπὸ τῶν σῶν κυνῶν, εἰ μὴ ἔφθασας βοηθῶν.” “ἀληθῆ, ἦ δ᾽ ὃς ὁ συβώτης· ἀλλ᾽ ἕπου, ἵνα σοι δῶ φαγεῖν καὶ πιεῖν· ὀψὲ γάρ.” ταῦτ᾽ εἰπών, ἡγεῖτο ἡμῶν ὁ συβώτης· καὶ ἔστρωσε χαμαὶ δέρματα αἰγῶν· ὁ δὲ πατὴρ εἶπεν, “Ζεὺς δοίη σοι, ὦ γέρον, ὅ τι μάλιστα ἐθέλεις, ἀντὶ τῆς φιλοξενίας.” ὁ δέ, “ὦ ξέν᾽, ἔφη, πρὸς Διὸς ἔρχονται ξένοι τε καὶ πτωχοί· ὀλίγον μὲν δίδωμι, ἄσμενος δέ.” ταῦτ᾽ εἰπὼν ἐκόμισεν ἀπὸ τοῦ συφεοῦ χοῖρον γαλαθηνόν· καὶ σφάξας ὤπτησε τὰ κρέα ἀμφ᾽ ὀβελοῖς. ὀπτήσας δὲ παρέθηκεν ἡμῖν θερμά, αὐτοῖς ὀβελοῖς· καὶ ἐκέρασεν οἶνον, καὶ πέλας καθίσας ἔφη, “ἐσθίετε νῦν, ὦ ξένοι.” καὶ ἐπεὶ ἐφάγομεν, ἔπλησε τὸ ποτήριον ᾧπερ ἔπινεν αὐτός, καὶ ἔδωκε τῷ πατρί, καὶ ὃς ἐμοί.

καὶ μὴν νὺξ ἐπῆλθε κακὴ καὶ σκοτεινή· σελήνη γὰρ οὐκ ἦν. ὗε δὲ Ζεὺς παννύχιος, ἔπνει δὲ Ζέφυρος, ὃς αἰεὶ ὑετὸν φέρει ἀνθρώποις. ἡμεῖς δὲ ἐκαθήμεθα διαλεγόμενοι. καὶ ὁ πατήρ, "εἰπέ μοι, φησίν, τι ἐστι τὸ ὄνομά σου; καὶ τίς πόθεν εἶ ἀνδρῶν;" ὁ δὲ ἀπεκρίνατο ὧδε·

"ὦ ξένε, τὸ μὲν ὄνομα Εὔμαιος, συβώτης δ' εἰμὶ ὡς ὁρᾷς· ἀλλ' ἐγενόμην μακρὰν ἔνθενδε. νῆσός ἐστί τις Ἀστυπάλαια, εἴ που ἀκούεις, Κρήτης μὲν καθύπερθεν, ἐγγὺς δὲ τῆς Ἀμοργοῦ· καλοῦσι δ' αὐτὴν θεῶν τράπεζαν· κεῖται δ' ἐν μέσῃ τῇ θαλάττῃ, εὔβοτος, εὔμηλος, πλήρης οἴνου καὶ πυρῶν. ἔστι δὲ καὶ ὑγιεινὴ ὡς μάλιστα, οὐδὲ νόσοι ὑπάρχουσιν· ἀποθνήσκουσι δ' οἱ ἔνοντες γήρᾳ, πολλὰ ἔτη γεγονότες. ἔνεστον δὲ δύο πόλει, τῆς δ' ἑτέρας πλουσιώτατος ἦν πολίτης ὁ πατὴρ ὁ ἐμός."

ὁ δὲ πατήρ μου ὑπολαβὼν εἶπεν, "φεῦ τῆς ἀτυχίας, ὦ Εὔμαιε· οἷος ὢν οἷος ἐγένου δή." ὁ δὲ εἶπεν, "ἀληθῆ λέγεις, ὦ ξένε· καὶ γὰρ ἦλθον ἄνδρες Φοίνικες ἐν νηΐ, πλεονέκται ὄντες καὶ ἄγριοι, ἔμποροι δὲ τὸ σχῆμα· ἦγον δὲ φόρτον ἀθυρμάτων ἐν τῇ νηΐ. καὶ μὴν ἦν γ' ἐν τῇ πατρὸς οἰκίᾳ γυνὴ Φοῖνιξ· ἡ δ' ἰδοῦσα τοὺς πατριώτας, μηχανὴν ἐμηχανήσατο τοιάνδε· συνθεῖσα τὴν ἡμέραν ἐν ᾗ ἄπεισιν οἱ Φοίνικες, λάθρα τοῦ πατρὸς τοῦ ἐμοῦ φεύγει. καὶ οἱ μὲν ἐδείπνησάν τε καὶ ἐξῆλθον ἐς ἀγοράν, αἱ δὲ γυναῖκες ἐκάθηντο ἐν τῇ αὐλῇ· ἦν δ' ἐν μέσῳ Φοῖνίξ τις, ἐκ συνθήματος ἐλθών, ἔχων δὲ περιδέραιον χρυσοῦν τε καὶ καλόν· καὶ αἱ μὲν ἐλάμβανον ἐν χερσὶν τὸ περιδέραιον, καὶ περιέβαλλον ταῖς δέραις, καὶ ὦνον ἐδίδουν· ὁ δὲ πρῶτον μὲν ἀνένευσε, τέλος δὲ κατένευσε, καὶ λαβὼν τὸν ὦνον παρὰ τὴν νῆα ἀπέβη. ἐν τούτῳ δὲ ἡ δούλη λαθοῦσα κατέφυγε, λαβοῦσα μὲν χειρὸς ἐμέ, κρύψασα δὲ ἐν κόλπῳ τρία ποτήρια

χρυσᾶ, ἅπερ ἐφεῦρέ που· ἐγὼ δὲ εἰπόμην οὐδ᾽ ἔγνων τὸ γιγνόμενον. ἐπειδὴ δ᾽ ἐς τὸν λιμένα κατήλθομεν, τρέχοντες ταχέως, ἰδοὺ ἥ τε ναῦς ἑτοίμη καὶ οἱ Φοίνικες· καὶ εὐθὺς ἀναβάντες εἰς τὴν ναῦν ἀπεπλέομεν, ἦν δ᾽ οὔριος ἄνεμος κατὰ πρύμναν. καὶ ἓξ μὲν ἡμέρας ἐπλέομεν ὑπὲρ τὴν θάλατταν, τῇ δ᾽ ἑβδόμῃ προσεῖχον τὴν ναῦν τῇ Ἀττικῇ, ὅπου ἐστὶν ὁ πορθμὸς τῆς τ᾽ Ἀττικῆς καὶ τῆς Εὐβοίας· ἐμὲ δ᾽ ἀπέδοντο τριακοσίων δραχμῶν ἀνδρὶ ἀγροίκῳ, ὁ δέ μ᾽ ἐπέστησε τῷδε τῷ σταθμῷ φυλάξοντα τὸ χοιροκομεῖον αὐτῷ· ἔχω δέ, ὡς ὁρᾷς, σῦς πολλούς τε καὶ πολλάς."

πρὸς ταῦτ᾽ ἀπεκρίνατο ὁ πατὴρ ὧδε· "ὦ Εὔμαιε, οἰκτίρω σε δή, οἷα ἔπαθες κακά· Ζεὺς δ᾽ ἄρα δίδωσιν ἑκάστῳ ὅποι᾽ ἂν ἐθέλῃ, τῷ μὲν καλά, τῷ δὲ κακά· ἡμεῖς δὲ ὄντες ἐφημέριοι ἐοίκαμεν τοῖς φύλλοις τῶν δένδρων, κινούμεθα δ᾽ ἔνθα καὶ ἔνθα ὑπὸ τῶν ἀνέμων εἰκῇ. ἀλλὰ πίωμεν καὶ λαθώμεθα τῶν κακῶν."

ἐπεὶ δ᾽ ἐπαύσατο λέγων ὁ πατήρ, χρόνον μέν τινα ἐσιγῶμεν· τέλος τῶν ἑταίρων τις τῶν Εὐμαίου (ἦσαν γὰρ δύο, καὶ ἐκαθήσθην πέλας) εἶπε, "κἀγώ, ὦ Εὔμαιε, ἤκουσα θαυμάσι᾽ ἄττα ἀπὸ Φοίνικός τινος, ὃς ἔφασκε περιπλεῖν τὴν Λιβύην ἔξω τῶν Ἡρακλείων στηλῶν." ὁ δ᾽ Εὔμαιος, "λέγε δή," φησίν· ὁ δ᾽ ἔφη, "καὶ δὴ λέγω ὡς καὶ ἐκεῖνος εἶπεν ἐμοί. ἔδοξε γὰρ τοῖς Καρχηδονίοις, ἦ δ᾽ ὃς ὁ Φοῖνιξ, ᾧ ἦν ὄνομα Ἄννων, πλεῖν ἐμὲ ἔξω στηλῶν καὶ πόλεις κτίζειν. καὶ ἔπλευσα πεντηκοντόρους ἑξήκοντα ἄγων, καὶ πλῆθος ἀνδρῶν καὶ γυναικῶν μυριάδων τριῶν, καὶ σιτία, καὶ τὴν ἄλλην παρασκευήν. ὡς δ᾽ ἀναχθέντες ἐπλεύσαμεν ἔξω τῶν στηλῶν, ἀφικόμεθα ἐπὶ Σολόεντα, Λιβυκὸν ἀκρωτήριον λάσιον δένδρεσιν. ἔνθα Ποσειδῶνος ἱερὸν ἱδρυσάμενοι πάλιν ἐπέβημεν πρὸς ἥλιον ἀνέχοντα ἡμέρας ἥμισυ, ἄχρι οὗ ἐκομίσθημεν ἐς

λίμνην οὐ πόρρω τῆς θαλάττης κειμένην, καλάμου μεστὴν πολλοῦ καὶ μεγάλου· ἐνῆσαν δὲ καὶ ἐλέφαντες καὶ τἆλλα θηρία νεμόμενα πάμπολλα. τὴν δὲ λίμνην παραλλάξαντες ὅσον ἡμέρας πλοῦν, κατῳκίσαμεν πόλεις πρὸς τῇ θαλάττῃ πέντε. κἀκεῖθεν ἀναχθέντες ἤλθομεν ἐπὶ μέγαν ποταμὸν Λίξον, ἀπὸ τῆς Λιβύης ῥέοντα. παρὰ δ' αὐτὸν νομάδες ἄνθρωποι Λιξῖται βοσκήματ' ἔνεμον, παρ' οἷς ἐμείναμεν χρόνον τινά, φίλοι γενόμενοι. τούτων δὲ καθύπερθεν Αἰθίοπες ᾤκουν ἄξενοι, γῆν νεμόμενοι θηριώδη. ὄρη δὲ ἦν μεγάλα, ἐξ ὧν ῥεῖν φασι τὸν Λίξον, περὶ δὲ τὰ ὄρη κατοικεῖν ἀνθρώπους ἀλλοιομόρφους, Τρωγλοδύτας· οὓς θάττονας ἵππων δρόμῳ ἔφασαν οἱ Λιξῖται. λαβόντες δὲ παρ' αὐτῶν ἑρμηνέας, παρεπλέομεν τὴν ἐρήμην πρὸς μεσημβρίαν δύο ἡμέρας· ἐκεῖθεν δὲ πάλιν πρὸς ἥλιον ἀνέχοντα ἡμέρας δρόμον. ἔνθα εὕρομεν ἐν μυχῷ τινος κόλπου νῆσον μικράν, κύκλον ἔχουσαν σταδίων πέντε· ἣν κατῳκίσαμεν, Κέρνην ὀνομάσαντες. τοὐντεῦθεν ἐς λίμνην ἀφικόμεθα, διά τινος ποταμοῦ μεγάλου διαπλεύσαντες· εἶχε δὲ νήσους ἡ λίμνη τρεῖς, μείζους τῆς Κέρνης. ἀφ' ὧν ἡμερήσιον πλοῦν κατανύσαντες, εἰς τὸν μυχὸν τῆς λίμνης ἤλθομεν, ὑπὲρ ἣν ὄρη μέγιστα ὑπερέτεινε, μεστὰ ἀνθρώπων ἀγρίων, δέρματα θήρεια ἠμφιεσμένων, οἳ πέτροις βάλλοντες ἀπέωσαν ἡμᾶς, καὶ ἐκώλυσαν μὴ ἐκβῆναι. ἐκεῖθεν πλέοντες εἰς ἕτερον ἤλθομεν ποταμόν, μέγαν καὶ πλατύν, πλήρη ὄντα κροκοδείλων καὶ ἵππων ποταμίων. ὅθεν δὴ ἀποστρέψαντες εἰς Κέρνην ἐπανήλθομεν. ἐκεῖθεν δ' ἐπὶ μεσημβρίαν ἐπλεύσαμεν δώδεκα ἡμέρας, τὴν γῆν παραπλέοντες, ἣν πᾶσαν κατῴκουν Αἰθίοπες· οἱ δ' ἔφευγον ἡμᾶς οὐδὲ ὑπέμενον· φωνὴν δ' ἐξίεσαν ἧς οὐ συνῄεσαν οὐδὲ οἱ μεθ' ἡμῶν Λιξῖται. τῇ δ' οὖν τελευταίᾳ ἡμέρᾳ προσωρμίσθημεν ὄρεσι μεγάλοις καὶ δασέσιν. ἦν δὲ τὰ τῶν

δένδρων ξύλα εὐώδη τε καὶ ποικίλα. περιπλεύσαντες δὲ ταῦτα ἡμέρας δύο, ἐγενόμεθα ἐν θαλάττης χάσματι ἀμετρήτῳ, ἧς ἐπὶ θάτερα ἐν τῇ γῇ πεδίον ἦν· ὅθεν νυκτὸς ἀφεωρῶμεν πῦρ ἀναφερόμενον πανταχόθεν. ὑδρευσάμενοι δ' ἐκεῖθεν ἐπλέομεν ἐς τοὔμπροσθεν ἡμέρας πέντε παρὰ γῆν, ἕως ἤλθομεν ἐς μέγαν κόλπον, ὃν ἔφασαν οἱ ἑρμηνῆς καλεῖσθαι Ἑσπέρου Κέρας. ἐν δὲ τούτῳ νῆσος ἦν μεγάλη, καὶ ἐν τῇ νήσῳ λίμνη θαλαττώδης· εἰς ἣν ἀποβάντες ἡμέρας μὲν οὐδὲν ἑωρῶμεν πλὴν ὕλης, νυκτὸς δὲ πυρὰ πολλὰ καιόμενα, καὶ φωνὴν αὐλῶν ἠκούομεν καὶ κυμβάλων τε καὶ τυμπάνων πάταγον καὶ κραυγὴν μεγάλην. φόβος οὖν ἔλαβεν ἡμᾶς, καὶ οἱ μάντεις ἐκέλευον ἐκλείπειν τὴν νῆσον. ταχέως δ' ἐκπλεύσαντες παρεπλέομεν χώραν θυμιαμάτων μεστήν· μέγιστοι δ' ἀπ' αὐτῆς πυρὸς ῥύακες ἐνέβαλλον ἐς τὴν θάλατταν. ἡ γῆ δ' ὑπὸ θέρμης ἄβατος ἦν. ταχέως οὖν κἀκεῖθεν φοβηθέντες ἀπεπλεύσαμεν. τέτταρας δ' ἡμέρας φερόμενοι, νυκτὸς τὴν γῆν ἀφεωρῶμεν φλογὸς μεστήν· ἐν μέσῳ δ' ἦν ὑψηλόν τι πῦρ, τῶν ἄλλων μεῖζον, ἁπτόμενον ὡς ἐδόκει τῶν ἄστρων. τοῦτο δ' ἡμέρας ὄρος ἐφαίνετο μέγιστον, Θεῶν Ὄχημα καλούμενον. τριταῖοι δ' ἐκεῖθεν πυρώδεις ῥύακας παραπλεύσαντες, ἀφικόμεθα εἰς κόλπον Νότου Κέρας λεγόμενον. ἐν δὲ τῷ μυχῷ νῆσος ἦν, ἐοικυῖα τῇ πρώτῃ, λίμνην ἔχουσα· καὶ ἐν ταύτῃ νῆσος ἦν ἑτέρα, μεστὴ ἀνθρώπων ἀγρίων. πολὺ δὲ πλείους ἦσαν γυναῖκες, δασεῖαι τὰ σώματα· ἃς οἱ ἑρμηνῆς ἐκάλουν Γορίλλας. διώκοντες δὲ ἄνδρας μὲν συλλαβεῖν οὐκ ἠδυνησάμεθα, ἀλλὰ πάντες ἀπέφυγον, κρημνοβάται ὄντες καὶ τοῖς πέτροις ἀμυνόμενοι, γυναῖκας δὲ συνελάβομεν τρεῖς, αἳ δάκνουσαί τε καὶ σπαράττουσαι τοὺς ἄγοντας οὐκ ἤθελον ἕπεσθαι. ἀποκτείναντες μέντοι αὐτὰς ἐξεδείραμεν, καὶ τὰς δορὰς ἐκομίσαμεν ἐς Καρχηδόνα. οὐ

γὰρ ἔτι ἐπλεύσαμεν προσωτέρω, τῶν σιτίων ἡμᾶς ἐπιλιπόντων."

τοιοῦτος μέν νυν ἦν ὁ λόγος τοῦ ἀνδρός· ἡμεῖς δὲ ἐθαυμάζομεν πολὺ τὸ θράσος τοῦ Ἄννωνος, *ὅσην γῆν παρέπλευσεν ἔξω τῶν στηλῶν πρὸς μεσημβρίαν. ὁ δὲ πατηρ μου ὁ* Θράσυλλος, *"οἴμοι, ἦ δ' ὅς, οἷα θαύματα δὴ ἔχει ἡ γῆ· ἔφριξα μὲν ἀκούων τὰ περὶ τῶν* Γοριλλῶν, *καὶ θεοῖς χάριν οἶδα πλείστην ὅτι οὐκ ἔχω* Γόριλλαν *γυναῖκ' ἔγωγε. εἰ δὲ καὶ κατελήφθη τις ἀνὴρ* Γόριλλας, *ἐνόμιζον ἂν σέ, ὦ θαυμάσιε,* Γόριλλαν *εἶναι· τοιοῦτον γὰρ ἔχεις τὸν πώγωνα, μέγαν τε καὶ δασύν." καὶ οἱ μὲν ἐγέλασαν, ἐγὼ δέ, "ἀλλ', ὦ πάτερ, ἔφην, ποῖόν τί ἐστιν ὁ ἐλέφας ὃν λέγει οὗτος ὁ* Γόριλλας ; *ποῖον δέ τι ὁ κροκόδειλος ; οὐ γάρ που ἔχομεν οἴκοι, οὐδ' εἶδον ἔγωγ' ἐν* Σαλαμῖνι *παραπλέων." ὁ δὲ ἀνὴρ ἀπεκρίνατο ὁ εἰπὼν τὰ περὶ τοῦ πλοῦ· "ὦ παῖ, μέγιστον δὴ θηρίον ὁ ἐλέφας ὧν ἐγὼ εἶδον καὶ ἀκοῇ οἶδα." ὁ δ'* Εὔμαιος *ὑπολαβὼν ἔφη, "ἦ καὶ σὺ ἑόρακας τὰ θηρία ;" ὁ δ' εἶπεν, "ἑόρακα· καὶ γὰρ ναύτης ἐγενόμην πρίν, καὶ δὴ καὶ ἔπλευσα ἐς* Αἴγυπτον. *ἀκούετε δή. ὁ μὲν ἐλέφας μέλας τέ ἐστι καὶ μέγας τὸ μέγεθος, ὥσπερ ὄρος, οὐ θηρίον· ἔχει δὲ δύο καμπύλους ὀδόντας, προέχουσι δ' οἱ ὀδόντες ὁ μὲν ἀριστερᾶς ἐκ τοῦ στόματος, ὁ δὲ δεξιᾶς· μῆκος δ' ἐστὸν ὅσον ὀργυιᾶς. ἐν μέσῳ δὲ τοῖν ὀδόντοιν ἵσταται ἡ καλουμένη προβοσκίς· ἔστι δ' αὕτη ὥσπερ δράκων μακρὸς καὶ παχύς· καὶ ταύτῃ ὥσπερ χειρὶ χρώμενος, ζητεῖ τὴν τροφήν. ὅ τι ἂν γὰρ εὕρῃ ἐμποδὼν σιτίον, ἐὰν μὲν ᾖ τροφὴ ἐλέφαντος, λαβὼν εὐθὺς τῇ προβοσκίδι καταβάλλει ἐς τὸ στόμα, καὶ κατέφαγεν ἤδη. ἐὰν δὲ μὴ ἐλέφαντος ᾖ τροφή, ὀσφρόμενος ἀπέρριψεν. ἐπικάθηται δέ τις ἐπὶ τοῦ νώτου ὥσπερ ἱππεύς, ἔχων μαστῖγα μὲν οὔ, πέλεκυν δὲ σιδηροῦν· καὶ τῷ πελέκει παίει τὴν κεφαλὴν τοῦ*

θηρίου, ὥστε στρέφειν αὐτὸν ὅποι ἂν ἐθέλῃ. ὁ δ' ἐλέφας σαίνει τὸν ἄγοντα, καὶ φοβεῖται, καὶ τὴν φωνὴν αὐτοῦ ἔγνω, φιλάνθρωπος γάρ ἐστιν αἰεί."

καὶ ὁ πατήρ, "βαβαί, φησί, τοῦ τέρατος. ἀλλ' εἴθ' ἔχοιμί τινα ἐλέφαντα ὥστε ἕλκειν τὸ ἄροτρον· ἀντὶ πολλῶν γὰρ ἂν εἴη βοῶν, ὡς ἔμοιγε δοκεῖ. λέγοις ἂν δὴ περὶ τοῦ κροκοδείλου· ἐοίκαμεν γὰρ καινόν τι μαθεῖν τήμερον." καὶ ὃς εἶπεν·

"ὁ κροκόδειλος ὅμοιος μὲν ταῖς σαύραις, ἅσπερ καὶ κροκοδείλους ὀνομάζουσιν οἱ Ἴωνες· τὸ σχῆμα δ' ἐστὶ τοιόνδε. μῆκος μέν ἐστι ὅσον δώδεκα ποδῶν, εὖρος δ' οὐ κατὰ λόγον, δορὰν δ' ἔχει φολίσιν κεκοσμημένην, σκληρὰν δ' ὥσπερ τῆς χελώνης. οἱ δὲ πόδες τέτταρες ὄντες κεκύρτωνται ὀλίγον, ὥσπερ καὶ οἱ τῆς χελώνης· οὐρὰ δὲ μακρὰ καὶ παχεῖα καὶ ὁμοῖα τῷ ἄλλῳ σώματι. φοβερώτατον δὲ πάντων ἐστὶ τὸ στόμα· ὅταν γὰρ χάνῃ, ὅλη ἡ κεφαλὴ στόμα γίγνεται, αἴρεται δὲ ἡ ἄνωθεν γένυς μέχρι ὤμων, ἔνεισι δ' ἐν τῷ στόματι ὀδόντες μύριοι, ὄντες ὥσπερ ἄκανθαι ἢ πριόνων αἰχμαί."

καὶ ἐγὼ ἐφοβούμην μὲν ἀκούων, αἰσχυνθεὶς δέ, ἵνα λάθοιμι, εἶπον· "μορμώ, δάκνει κροκόδειλος." ὁ δὲ ἠμείβετο, "δάκνει δή, ὦ παῖ· καὶ γὰρ ἂν ἐγκάψειεν ἂν τήν γε σὴν κεφαλὴν ὥσπερ κἀγὼ ᾠόν. ὁ δὲ ἵππος ὁ ποτάμιος φύσιν παρέχεται τοιάνδε· τετράπους ἐστί, δίχηλος, ὁπλαὶ βοός, σιμός, λοφιὰν ἔχων ἵππου, χαυλιόδοντας φαίνων, οὐρὰν ἵππου καὶ φωνήν· μέγεθος, ὅσον βοῦς ὁ μέγιστος· τὸ δέρμα δ' αὐτοῦ οὕτω δή τι παχύ ἐστι, ὥστε αὖον γενομένον ξυστὰ ποιεῖσθαι ἀκόντια ἐξ αὐτοῦ."

καὶ τέως μὲν ἄσμενος ἤκουεν ὁ πατήρ μου· ἐπειδὴ δὲ ὁ ἄνθρωπος ἤρχετο λέγειν περὶ ἵππου ποταμίου, καὶ τέλος ἐφαίνετο οὐδέν, μετὰ ταῦτ' ἔφη βαρυνόμενος· "ἀλλ', ὦ οὗτος, δεινὸν μὲν δὴ ὁ

κροκόδειλος, δεινότερον δ' ἡ ἀλώπηξ ἡ παρ' ἡμῖν· ἐνίκησε γὰρ τὸν κροκόδειλον τῷ νῷ." ὁ δὲ ἔφη, "πῶς δή, ὦ ξένε;" καὶ ἠμείψατο ὁ πατήρ· "ἀλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον. καὶ ὁ μὲν κροκόδειλος πολὺν κόμπον ἐκόμπαζε, καὶ θαυμασίως ὡς ἐσεμνύνετο, λέγων περὶ τῶν προγόνων ὡς ἐγένοντο λαμπρότατοι· ἡ δ' ἀλώπηξ ὑπολαβοῦσ' ἔφη, 'ὦ οὗτος, λαμπροὶ μὲν δὴ οἱ σοὶ πρόγονοι, αὐτὸς δὲ σὺ δοῦλος πάλαι· μαρτυρεῖ γάρ τοι τὸ δέρμα, φέρον τὰ στίγματα τῶν μαστίγων.'"

καὶ ἐγὼ εἶπον, "εὖ μ' ἀνέμνησας, ὦ πάτερ, μῦθον τινὸς ὅνπερ ἡ μήτηρ διηγεῖτο ἡμῖν, ἐν ᾧ ἔστρεφε τὸν ἄτρακτον χειμῶνος. ἀλώπηξ γάρ τις ἔπεσεν εἰς φρέαρ βαθύ, οὐδ' εἶχεν ὅπως ἀναβήσεται. τράγος δὲ διψῶν καὶ ζητῶν ὕδωρ, προσῆλθε πρὸς τὸ φρέαρ, καὶ ὁρῶν καταβᾶσαν τὴν ἀλώπεκα, ἠρώτα πότερον καλὸν εἴη, τὸ ὕδωρ τὸ ἐν τῷ φρέατι. ἡ δ' ἀλώπηξ ἐπῄνει κάρτα τὸ ὕδωρ, ὡς χρηστὸν εἴη, καὶ παρῄνει καταβῆναι· ὁ δὲ κατεπήδησεν. ἐπεὶ δ' ἔσβεσε τὴν δίψαν ὁ τράγος, ἐσκοπεῖτο ὅπως ἀναβήσεται πάλιν· καὶ ἠρώτα τὴν ἀλώπεκα, τί δεῖ ποιεῖν; ἡ δ' ἔφη, 'ῥᾴδιον δή· προσέρεισον γὰρ σὺ τοὺς ἐμπροσθίους πόδας τῷ τοίχῳ, καὶ στῆθι ὀρθός, καὶ ἔγκλινον τὰ κέρατα· ἐγὼ δὲ ἀναβήσομαι διὰ τοῦ σοῦ νώτου, ἀναβᾶσα δ' ἀνελκύσω ἔξω καὶ σέ.' ὁ δ' οὕτως ποιεῖ· ἡ δ' ἀλώπηξ ἐπὶ τὰ νῶτα ἀναβαίνει πηδήσασα, καὶ ἐντεῦθεν ἐπὶ τὰ κέρατα, καὶ ἰδοὺ κάθηται ἐπὶ τοῦ χείλους τοῦ φρέατος. καὶ μὴν ἀπῄει γ' εὐθύς· ὁ δὲ τράγος ἐβόα, 'ὦ τρισκαταράτη, ποῖ φεύγεις, ὑποσχομένη κἄμ' ἀνελκύσαι;' ἡ δ' ἐπιστραφεῖσα, 'ὦ οὗτος, φησίν, εἰ νοῦν εἶχες, ὅσον καὶ τὸν πώγωνα, οὐ πρότερον ἂν κατέβης, πρὶν διασκέψασθαι τὴν ἄνοδον.'"

καὶ ἦν μὲν ἀπαντήσων ὁ ἄνθρωπος· ὁ δ' Εὔμαιος *ἔφη, "ἐπίσχες, ὦ τάν· χωρεῖ γὰρ ἡ νύξ· ἅλις δὴ*

ἐλεφάντων, ἅλις κροκοδείλων, ἅλις ἀλωπέκων καὶ δὴ καὶ Γοριλλῶν· *καιρὸς ὕπνου.” καὶ ἡμεῖς ἐπαινέσαντες ἐκοιμώμεθα. τῇ δ' αὔριον ἐγώ τε καὶ ὁ πατὴρ προὔβημεν κατὰ θήραν, πολλὰ ἐπαινέσαντες τὸν* Εὔμαιον *τῆς φιλοξενίας.*

36

ΜΥΛΗ

ἀλεῖ μὲν ἡ μήτηρ τῇ μύλῃ ἄλευρα καὶ ἄλφιτα· ἀλοῦσα δ' ἅμ' ᾄδει·

ἄλει, μύλη, ἄλει·
καὶ γὰρ Πιττακὸς *ἀλεῖ,*
μεγάλης Μυτιλήνης *βασιλεύων.*

ἐγὼ δ' ἠρώτησα· “τίς δ', ὦ μῆτερ, ἦν ὁ Πιττακός; *” ἡ δὲ μήτηρ ἔφη· “ὦ παῖ* Θρασύμαχε, *σοφός τις ἦν ὁ* Πιττακὸς *ἐν τοῖς μάλιστα. ἦν δ' ἄρα τις* Κροῖσος, *βασιλεὺς ὢν τῆς* Λυδίας, *ὃς κατεστρέψατο πάντας τοὺς ἐν* Ἀσίᾳ· *καταστρεψάμενος δὲ τούτους, ἐν νῷ εἶχε καταστρέψασθαι καὶ τοὺς ἐν ταῖς νήσοις. καὶ ἔτυχεν ὁ* Πιττακὸς *ὢν παρὰ* Κροίσῳ *ἐν* Λυδίᾳ· *ἠρώτησε δ' ὁ* Κροῖσος *τὸν* Πιττακόν, *εἴ τι εἴη νεώτερον περὶ τὴν* Ἑλλάδα. *ὁ δὲ* Πιττακός, *'ὦ βασιλεῦ, ἔφη, νησιῶται ἵππους συνωνοῦνται μυρίους, ἔχοντες ἐν νῷ ἐς* Σάρδεις *τε καὶ ἐπὶ σὲ στρατεύεσθαι.' ὁ δὲ* Κροῖσος, *ἐλπίσας λέγειν ἐκεῖνον ἀληθῆ, εἶπεν, 'εἰ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νοῦν νησιώταις ἐλθεῖν ἐπὶ* Λυδοὺς *σὺν ἵπποις.' ὁ δ' ὑπολαβὼν ἔφη, 'ὦ βασιλεῦ, προθύμως μοι φαίνῃ εὔξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ· νησιώτας δὲ τί δοκεῖς εὔχεσθαι ἄλλο, ἢ λαβεῖν* Λυδοὺς *ἐν θαλάττῃ, ἵνα τίσωνταί σε ὑπὲρ τῶν ἐν ἠπείρῳ, οὓς σὺ δουλώσας ἔχεις;' κάρτα δ' ἥσθη ὁ* Κροῖσος *τῷ*

ἐπιλόγῳ· καὶ πειθόμενος ἐπαύσατο τῆς ναυπηγίας.” καὶ ἐγώ, “ὡς σοφὸς δή, ἔφην, ὁ Πιττακός· *ἀλλὰ διὰ τί λέγεις ἀλεῖν αὐτόν;” ἡ δ', “οὐκ οἶδ' ἔγωγε, φησίν, ὦ παῖ· εἰ μὴ τύραννος ὢν ἐπίεζε τοὺς πολίτας. ἐπῄνει δὲ τὴν μύλην, διότι ἐν μικρῷ τόπῳ εὖ ἔστι γυμνάζεσθαι. ἦν δέ τις τῶν ἑπτὰ καλουμένων σοφῶν· καὶ δὴ καὶ εἶπε συγγνώμην τιμωρίας κρείττονα, ὥστ' οὐ πέποιθα πιεσθῆναι ὑπ' αὐτοῦ τοὺς πολίτας.” “οἱ δ' ἄλλοι τῶν ἑπτά, ἔφην ἐγώ, τίνες ἦσαν, ὦ μῆτερ;” ἡ δ' ἔφη, “*Κλεόβουλος Λίνδιος, Χίλων Λακεδαιμόνιος, Περίανδρος Κορίνθιος, Σόλων Ἀθηναῖος, Βίας Πριηνεύς, Θαλῆς Μιλήσιος.” *κἀγὼ ἔφην, “ὦ μῆτερ, λέγοις ἂν μοι περὶ τούτων.” ἡ δ' ἀπεκρίνατο, “μηδὲν ἄγαν, ὦ παῖ· ἅλις περὶ τῶνδε. χρὴ γὰρ ἀλεῖν· ὡς ἄνευ τοῦ ἀλεῖν οὐ γίγνεται ἄλφιτα, ἄνευ δ' ἀλφίτων οὐ μᾶζα.” καὶ λέγουσα ἤλει αὖθις, καὶ ἀλοῦσα ᾖδεν·*

“ἄλει, μύλη, ἄλει·
καὶ γὰρ Πιττακὸς *ἀλεῖ*
μεγάλης Μυτιλήνης *βασιλεύων.”*

37

ΧΕΙΜΩΝ

τοῦ χειμῶνος ἡ μήτηρ οἴκοι κάθηται, διδάσκει δὲ τὴν Ἑλένην *ἔριά τε ξαίνειν καὶ στρέφειν ἄτρακτον· καὶ μὴν πολλάκις γ' ἡμῖν λέγει μύθους περὶ τῶν πάλαι. νεωστὶ οὖν ἐπεπήγει μὲν ὁ κρύσταλλος ἔξω καὶ λαβροὶ χειμάρροι κατέρρεον· αἱ δὲ βόες ἐπὶ φάτναις ἄχυρον ἔτρωγον καὶ οἱ αἶγες καὶ τὰ πρόβατα φυλλάδας ἐν τοῖς σηκοῖς, καὶ οἱ ὕες ἐν συφεῷ βαλάνους. ἡμεῖς δ' ἔνδον ἐκαθήμεθα, αἱ μὲν γυναῖκες λίνον κλώθουσαι, ἐγὼ δ' ἐμηχανησάμην παγίδας ὡς ληψόμενος ὄρνιθας. ὁ δ' ἀδελφὸς ἠρέθιζέ μέ πως,*

ὥστ' ἀναστὰς ῥαπίζω αὐτὸν κατὰ κόρρης. εἶπε δ' ἡ μήτηρ, "μὴ μή, ὦ παῖ· οὐ γὰρ χρεὼν ἐρίζεσθαι ἀδελφούς." "ἀλλ', ὦ μῆτερ, ἦν δ' ἐγώ, ἐνοχλεῖ μ' ἔχων ὁ μαστιγίας." ὁ δ' ἔκλαιεν. ἡ δ' εἶπεν, "εὐφημεῖτε, καὶ ἀκούετε μῦθον. γεωργός τις ἦν, δύο παιδίω ἔχων· τὼ δὲ παῖδε ἠριζέσθην αἰεί, οὐδ' ἠδύνατο ὁ πατὴρ διαλλάττειν αὐτώ. μετεπέμψατο οὖν ῥάβδους· λαβὼν δὲ τὰς ῥάβδους, καὶ συνδήσας ἅπαντας σχοινίῳ, ἐκέλευε τοὺς παῖδας διαρρῆξαι τὸν φάκελον· οἱ δὲ πειρασάμενοι, ὅμως οὐκ ἠδύναντο. ὕστερον δ' ὁ πατὴρ λύσας τὸν φάκελον, ἀνὰ μίαν ἔδωκε, καὶ διαρρῆξαι ἐκέλευεν· οἱ δὲ διέρρηξαν ῥᾳδίως. καὶ δὴ λέγει ὁ πατήρ· 'οὕτω καὶ ὑμεῖς, ὦ τέκνα μου, ἐὰν ὁμοφρονῆτε, ἀνίκητοι ἔσεσθε τοῖς πολεμίοις· ἀλλ' ἐριζόμενοι ἀλλήλοιν, ῥᾳδίως νικηθήσεσθε.'" ἐκ τούτων οὖν διαλλαττόμεθα ἐγώ τε καὶ ὁ ἀδελφός. καὶ μὴν ἡ τροφός γ' ὑπολαβοῦσ' ἔφη· "σοφώτεροι δὴ οἵδε τῶν ἐχθρῶν, οἳ ἐν μιᾷ νηῒ πλέοντες οὕτως ἤχθαιρον ἀλλήλους, ὥστε ὁ μὲν ἐπὶ τὴν πρῷραν ὥρμησεν, ὁ δ' ἐπὶ τὴν πρύμναν, καὶ ἔμενον ἐκεῖ. χειμῶνος δ' ἐπιγενομένου, καὶ τῆς νεὼς καταποντίζεσθαι μελλούσης, ὁ ἐπὶ τῇ πρύμνῃ καθήμενος ἤρετο τὸν κυβερνήτην, 'ὦ κυβερνῆτα, πότερον μέρος τῆς νεὼς μέλλει πρότερον καταποντίζεσθαι;' ὁ δ' ἔφη, 'ἡ πρῷρα.' καὶ ἐκεῖνος, 'ἀλλ' οὐκέτι λυπηρὸς ἔσται ὁ θάνατος ἔμοιγε, εἴγε ὁρᾶν μέλλω τὸν ἐχθρόν μοι προαποπνιγόμενον.'" ἡμεῖς δὲ γελάσαντες ἡσυχίαν ἤγομεν μετὰ ταῦτα.

38

ΒΑΤΡΑΧΟΙ

ἔστι τις λίμνη οὐ μεγάλη πέλας τῆς οἰκίας, ἐν ᾗ πολὺς μέν ἐστι πηλός, πολλοὶ δὲ βάτραχοι. καὶ ἀκούομεν δὴ ἑσπέρας κραζόντων τῶν βατράχων. ἡ δ'

Ἑλένη ἡ ἀδελφή μου ἀκούσασά ποτε τούτων, ἐκάλει τὴν τροφόν· "ὦ τίτθη, ἦ δ' ἥ, ἄκουε δὴ τῶν βατράχων· βρεκεκεκὲξ κοὰξ κοάξ." ἡ δ' ἀπεκρίνατο, "οἷον κράζουσι δή· τί δ' ἂν λέγοιεν, εἰ λάβοιεν φωνήν;" καὶ ἡ μήτηρ, "ἀλλ' οὖν εἶχόν γε πάλαι· τὸ πάλαι γὰρ συνίεσαν ἀλλήλων, οἱ ἄνθρωποι τῶν τ' ἄλλων ζῴων καὶ τῶν βατράχων, καὶ οἱ βάτραχοι τῶν ἀνθρώπων." καὶ ἐγὼ ἔφην· "λέγοις ἄν, ὦ μῆτερ, μῦθόν τιν' ἡμῖν." ἡ δὲ ἤρξατο ὧδέ πως. "τὸ πάλαι ἀναρχία ἦν ἐν τοῖς βατράχοις," ἀλλ' οὐκ ἠδύνατο πλείω λέγειν· ὑπέλαβε γὰρ ἡ Ἑλένη λέγουσα, "τί δ' ἐστίν, ὦ μῆτερ, ἡ ἀναρχία;" ἡ δ' εἶπε πρὸς ταῦτα· "οἶσθα δήπου δημοκρατίαν οὖσαν Ἀθήνησι, τοῦ γε δήμου κρατοῦντος· ἀλλαχοῦ δ' ἀριστοκρατίαν, ἐὰν οἱ ὀλίγοι κρατῶσι, ἢ ὄντες γε ἢ δοκοῦντες ἑαυτοῖς εἶναι ἄριστοι· ἐὰν δὲ μηδεὶς ἄρχῃ, ὥστε ἄνευ ἀρχῆς εἶναι τὴν πόλιν, ἀναρχία δὴ αὕτη." καὶ μετὰ ταῦτα συνεχῶς ἔλεγε τὸν μῦθον.

πάλαι δ' οὖν, ἀναρχία ἦν ἐν τοῖς βατράχοις, ἐστασιάζοντο γὰρ ἀλλήλοις καὶ ἐμάχοντο καὶ ἔριν ἐποιοῦντο ὥσπερ ἐνίοτε οἵ σοί γ' ἀδελφοὶ ποιοῦνται. διὰ ταῦτ' οὖν πρέσβεις ἔπεμψαν, ἱκετεύοντες τὸν Δία σφι παρασχεῖν βασιλέα. καὶ ὁ Ζεύς, ὃς ἤδη μώρους ὄντας τοὺς βατράχους, ξύλον ἔπηξεν ἐν μέσῃ τῇ λίμνῃ. αὐτίκα δὴ οἱ βάτραχοι φοβούμενοι ἔκρυψαν ἑαυτούς, καταδύοντες ἐς τὰ βάθη. χρόνου δ' ἐγγιγνομένου, ὡς ἀκίνητον ἑώρων τὸ ξύλον, θαρσήσαντες ἤδη ἀνέκυψαν· μετ' ὀλίγον δὲ καὶ καταφρονήσαντες ἐπέβησάν τε καὶ ἐκάθηντο ἐπὶ τοῦ ξύλου. καὶ συλλόγου γενομένου τῶν βατράχων, εἷς τις τῶν γεραιτέρων βοᾷ μεγάλῃ τῇ φωνῇ· μορμὼ τοῦ βασιλέως· καὶ ἅμα ὀρχεῖται ἐπὶ τοῦ ξύλου. οἱ δὲ ἄλλοι θορυβοῦντες ἐβόων, 'ἄλλους πέμψωμεν πρέσβεις καὶ αἰτῶμεν ἄλλον βασιλέα ἀληθινόν, ὅστις ἔμψυχός

τ' ἔσται καὶ παύσει τὴν ἀναρχίαν ἡμῶν.' καὶ δὴ καὶ ἅμ' ἔπος ἅμ' ἔργον· πέμπουσι πρέσβεις, αἰτοῦσι βασιλέα ἄλλον· ὁ δὲ Ζεὺς δίδωσιν αὐτοῖς πελαργόν. βασιλεὺς δὲ γενόμενος ὁ πελαργὸς ἐπὶ τοῦ ξύλου κάθηται, θρόνῳ χρώμενος, καὶ καθ' ἡμέραν τρεῖς κατεσθίει τῶν βατράχων, ἕως ἀπώλοντο πάντες. ἔπειτ' ἐπαύσθη ἡ ἀναρχία." πρὸς ταῦτ' εἶπον ἐγώ, "οὐ μὲν οὖν ἐπαύσθη· σύλλογον γὰρ ποιησάμενοι καὶ νῦν κράζουσιν ἄναξ, ἄναξ."

39

ΠΑΙΔΙΑ

ἱλαρὸς δὴ ὁ βίος. παιδιαῖς γὰρ χρώμεθα πολλαῖς καὶ παντοδαπαῖς· ὧν τὰς μὲν εἶπον ἤδη ὁποῖαί εἰσιν, τὰς δὲ ἐρῶ νῦν.

ἡ μὲν δὴ ὀνομάζεται χαλκῆ μυῖα. ἑνὸς γὰρ παιδὸς τὼ ὀφθαλμὼ ταινίᾳ περισφίγγομεν, ὥστε τυφλὸν γενέσθαι μηδὲ ὁρᾶν μηδέν· ὁ δ' οὕτως διακείμενος περιστρέφεται κηρύττων, "χαλκῆν μυῖαν θηράσω," οἱ δ' ἄλλοι βοῶσι "θηράσεις ἀλλ' οὐ λήψει·" ἅμα δὲ βοῶντες παίουσιν αὐτὸν σκύτεσι βυβλίνοις, ἕως ἄν τινος αὐτῶν λάβηται.

ἡ δὲ καλεῖται διελκυστίνδα. διανέμονται ἐν ταύτῃ οἱ παῖδες ἐς δύο μοίρας, ἔχονται δ' ἀμφότεροι σχοινίου μεγάλου, ἕτεροι ἐναντίον ἑτέρων· νικῶσι δ' ὁπότεροι ἂν ἑλκύσωσι τοὺς ἑτέρους παρ' ἑαυτούς.

ἄλλη δὲ χυτρίνδα· ὁ μὲν ἐν μέσῳ κάθηται καὶ καλεῖται χύτρα· οἱ δὲ τίλλουσιν αὐτὸν ἢ κνίζουσιν ἢ παίουσι περιθέοντες. στρέφεται δ' ὁ ἐν μέσῳ αἰεί, καὶ πειρᾶται λαβέσθαι τινός· οὗ δ' ἂν λάβηται, οὗτος κάθηται ἐν μέσῳ ἀντ' αὐτοῦ.

ἔστι δ' ἄλλη ἡ σχοινοφιλίνδα. ἐνταῦθα κάθηνται κύκλῳ οἱ παῖδες, εἷς δέ τις αὐτῶν σχοινίον ἔχων

περιέρχεται, καὶ δὴ καὶ τίθησι λαθὼν τὸ σχοινίον παρά τινι τῶν καθημένων· καὶ ἐὰν μὲν ἀγνοήσῃ ἐκεῖνος παρ' ᾧ τίθεται τὸ σχοινίον, περιθέων περὶ τὸν κύκλον πληγὰς λαμβάνει ὑπ' αὐτῶν· ἐὰν δὲ αἰσθάνηται, περιελαύνει τὸν θέντα τύπτων.

ἡ δ' ἀποδιδρασκίνδα οὕτως πως γίγνεται. ἐν μέσῳ μὲν εἷς τις κάθηται μύων, ἢ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπιλαμβάνει ἄλλος· οἱ δ' ἀποδιδράσκουσιν. ἐπειδὰν δ' ὁ ἐν μέσῳ ἀναστὰς ἐξερευνᾷ, ἔργον ἐστὶν ἑκάστῳ φθάσαι ἐλθόντι εἰς τὸν ἐκείνου τόπον.

ἡ δ' ὀστρακίνδα, ἢ ὀστράκου περιβολή, τοιαύτη τίς ἐστι παιδιά. ἑλκυσάντων μὲν τῶν παίδων γραμμὴν ἐν μέσῳ, καὶ διανεμηθέντων, ἀφίησί τις ὄστρακον ἐπὶ τῆς γραμμῆς· τὸ δ' ὄστρακον τὴν μὲν πλευρὰν μέλαιναν ἔχει, τὴν δὲ λευκήν. καὶ οἱ ἕτεροι τῶν παίδων νομίζουσιν ἑαυτοῖς προσήκειν τὸ λευκόν, οἱ δ' ἕτεροι τὸ μέλαν. ὥστε διώκουσί τε καὶ φεύγουσι κατὰ τὸ χρῶμα· οἱ μὲν μέλανες διώκοντες ἐὰν ἡ μέλαινα πλευρὰ φανῇ ὕπερθεν γενομένη, οἱ δὲ λευκοὶ ἐὰν ἡ λευκή. καὶ ὃς ἂν ληφθῇ διωκόμενος, οὗτος ὄνος κάθηται.

ἄλλοτε δὲ ἀφίεμεν ὄστρακον ὑπὲρ τὸ ὕδωρ ἐπιπολῆς, ἀριθμοῦντες ὁπόσα πηδήματα πηδᾷ ἐν τῇ ὑπὲρ τὸ ὕδωρ ἐπιδρομῇ πρὶν καταδῦναι. οἱ δὲ πηδῶσιν τῷ ἑτέρῳ ποδὶ μόνον, ἄραντες τὸν ἕτερον· οὗτός ἐστιν ἀσκωλιασμός, οἱ δ' ἀσκωλιάζουσιν. ἀναρρίπτουσι δὲ καὶ πέντε λίθους ἢ ψήφους ἢ ἀστραγάλους, ὥστε ἐπιστρέψαντας τὴν χεῖρα δέξασθαι τὰ ῥιφθέντα ἐπὶ τῆς ἐναντίας πλευρᾶς· ὅπερ ὀνομάζεται τὸ ὀπισθέναρ τῆς χειρός, τὸ δ' ἕτερον μέρος, θέναρ. ταῦτ' ἐστὶ τὰ πεντάλιθα, λέγομεν δὲ τοὺς παίζοντας πενταλιθάζειν.

ἄλλαι δ' εἰσὶ παιδιαὶ βασιλίνδα, μυΐνδα, ἀκινητίνδα, περὶ ὧν τὰ ὀνόματα δηλοῖ ἅττα ἐστίν.

40

ΕΡΜΗΣ

ἔπαιζόν ποτε αἱ κόραι. καὶ ἐκάθητο μὲν μία τῶν κορῶν ἐν μέσῳ, αἱ δ' ἄλλαι κύκλον ποιησάμενοι ἐχόρευον, ᾄδοντες· ἡ δ' ἐν μέσῳ ἀντῇδεν. ἡ δ' ᾠδὴ

'δουσιν·

ERRATUM

Page 85 line 3

For ᾄδοντες read ᾄδουσαι

ῷ μέσῳ;

ιλησίαν.

αἱ δ' εὐθύς·

ὁ δ' ἔκγονός σου τί ποιῶν ἀπώλετο;

καὶ ἥ·

λευκῶν ἀφ' ἵππων εἰς θάλατταν ἥλατο.

παιζουσῶν δὲ τῶν κορῶν, ἀναβοᾷ τις αὐτῶν, "ἰδού, χελώνη." καὶ ἀναρπάσασα θαυμάζει αὐτήν, οἵους ἔχει τοὺς πόδας καὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν καὶ τὸ ὄστρακον. καὶ ταῦτ' ἀκούσασ' ἡ τίτθη, "ἀλλὰ μήν, ἔφη, πάλαι γ' ἦν ἁπαλωτάτη ἡ χελώνη." αἱ δ' ἔφασαν, "ὦ θαυμασία, καὶ πῶς ἐγένετο σκληρά; λέγε δή." ἡ δ' ἔλεγεν.

"ὁ Ζεὺς ἐγάμει τὴν Ἥραν· γαμῶν δέ, μεγάλην ἑστίασιν ἐποιήσατο, ὥσθ' ἑστιᾶν πάντα τὰ ζῷα. καὶ τὰ μὲν ἄλλα ζῷα ἐς καιρὸν παρῆν· ἡ δὲ χελώνη οὔ. τῇ ὑστεραίᾳ οὖν ἐπηρώτα ὁ Ζεὺς τὴν χελώνην, διὰ τί μόνη οὐκ ἦλθεν ὡς συνεστιασομένη. ἡ δ' εἶπεν, 'οἶκος φίλος, οἶκος ἄριστος.' ἀγανακτήσας οὖν ὁ Ζεὺς τῇ ἀμουσίᾳ τῆς χελώνης, ἐκέλευσε βαστάζειν αὐτὴν τὸν οἶκον ἐσαιεὶ ἐπὶ τοῦ νώτου." εἶτα ἡ μήτηρ ἔφη,

περιέρχεται, καὶ δὴ καὶ τίθησι λαθὼν τὸ σχοινίον παρά τινι τῶν καθημένων· καὶ ἐὰν μὲν ἀγνοήσῃ ἐκεῖνος παρ' ᾧ τίθεται τὸ σχοινίον, περιθέων περὶ τὸν κύκλον πληγὰς λαμβάνει ὑπ' αὐτῶν· ἐὰν δὲ αἰσθάνηται, περιελαύνει τὸν θέντα τύπτων.

ἡ δ' ἀποδιδρασκίνδα οὕτως πως γίγνεται. ἐν μέσῳ μὲν εἷς τις κάθηται μύων, ἣ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπιλαμβάνει ἄλλος· οἱ δ' ἀποδιδράσκουσιν
δ' ὁ ἐν μέσῳ ἀνα
φθάσαι ἐλθόντι εἰ

ἡ δ' ὀστρακίν
τίς ἐστι παιδιά. ἐ
ἐν μέσῳ, καὶ διανε
τῆς γραμμῆς· τὸ
μέλαιναν ἔχει, τὴν δὲ λευκήν. καὶ οἱ ἕτεροι τῶν παίδων νομίζουσιν ἑαυτοῖς προσήκειν τὸ λευκόν, οἱ δ' ἕτεροι τὸ μέλαν. ὥστε διώκουσί τε καὶ φεύγουσι κατὰ τὸ χρῶμα· οἱ μὲν μέλανες διώκοντες ἐὰν ἡ μέλαινα πλευρὰ φανῇ ὕπερθεν γενομένη, οἱ δὲ λευκοὶ ἐὰν ἡ λευκή. καὶ ὃς ἂν ληφθῇ διωκόμενος, οὗτος ὄνος κάθηται.

ἄλλοτε δὲ ἀφίεμεν ὄστρακον ὑπὲρ τὸ ὕδωρ ἐπιπολῆς, ἀριθμοῦντες ὁπόσα πηδήματα πηδᾷ ἐν τῇ ὑπὲρ τὸ ὕδωρ ἐπιδρομῇ πρὶν καταδῦναι. οἱ δὲ πηδῶσιν τῷ ἑτέρῳ ποδὶ μόνον, ἄραντες τὸν ἕτερον· οὗτός ἐστιν ἀσκωλιασμός, οἱ δ' ἀσκωλιάζουσιν. ἀναρρίπτουσι δὲ καὶ πέντε λίθους ἢ ψήφους ἢ ἀστραγάλους, ὥστε ἐπιστρέψαντας τὴν χεῖρα δέξασθαι τὰ ῥιφθέντα ἐπὶ τῆς ἐναντίας πλευρᾶς· ὅπερ ὀνομάζεται τὸ ὀπισθέναρ τῆς χειρός, τὸ δ' ἕτερον μέρος, θέναρ. ταῦτ' ἐστὶ τὰ πεντάλιθα, λέγομεν δὲ τοὺς παίζοντας πενταλιθάζειν.

ἄλλαι δ' εἰσὶ παιδιαὶ βασιλίνδα, μυΐνδα, ἀκινητίνδα, περὶ ὧν τὰ ὀνόματα δηλοῖ ἅττα ἐστίν.

40

ΕΡΜΗΣ

ἔπαιζόν ποτε αἱ κόραι. καὶ ἐκάθητο μὲν μία τῶν κορῶν ἐν μέσῳ, αἱ δ' ἄλλαι κύκλον ποιησάμενοι ἐχόρευον, ᾄδοντες· ἡ δ' ἐν μέσῳ ἀντῇδεν. ἡ δ' ᾠδὴ τοιάδε. αἱ μὲν χορεύουσαι πρῶτον ᾄδουσιν·

χέλει χελώνη, τί ποιεῖς ἐν τῷ μέσῳ;

ἡ δ' ἐν μέσῳ ἀντᾴδει·

μηρύομαι ἔρια καὶ κροκὴν Μιλησίαν.

αἱ δ' εὐθύς·

ὁ δ' ἔκγονός σου τί ποιῶν ἀπώλετο;

καὶ ἥ·

λευκῶν ἀφ' ἵππων εἰς θάλατταν ἥλατο.

παιζουσῶν δὲ τῶν κορῶν, ἀναβοᾷ τις αὐτῶν, "ἰδού, χελώνη." καὶ ἀναρπάσασα θαυμάζει αὐτήν, οἵους ἔχει τοὺς πόδας καὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν καὶ τὸ ὄστρακον. καὶ ταῦτ' ἀκούσασ' ἡ τίτθη, "ἀλλὰ μήν, ἔφη, πάλαι γ' ἦν ἁπαλωτάτη ἡ χελώνη." αἱ δ' ἔφασαν, "ὦ θαυμασία, καὶ πῶς ἐγένετο σκληρά; λέγε δή." ἡ δ' ἔλεγεν.

"ὁ Ζεὺς ἐγάμει τὴν Ἥραν· γαμῶν δέ, μεγάλην ἑστίασιν ἐποιήσατο, ὥσθ' ἑστιᾶν πάντα τὰ ζῷα. καὶ τὰ μὲν ἄλλα ζῷα ἐς καιρὸν παρῆν· ἡ δὲ χελώνη οὔ. τῇ ὑστεραίᾳ οὖν ἐπηρώτα ὁ Ζεὺς τὴν χελώνην, διὰ τί μόνη οὐκ ἦλθεν ὡς συνεστιασομένη. ἡ δ' εἶπεν, 'οἶκος φίλος, οἶκος ἄριστος.' ἀγανακτήσας οὖν ὁ Ζεὺς τῇ ἀμουσίᾳ τῆς χελώνης, ἐκέλευσε βαστάζειν αὐτὴν τὸν οἶκον ἐσαιεὶ ἐπὶ τοῦ νώτου." εἶτα ἡ μήτηρ ἔφη,

“ἄμεινον τοίνυν ἂν ἦν, εἰ εἴχετο ἀεὶ τῆς αὐτῆς γνώμης ἡ χελώνη· καὶ γὰρ ἐξῆλθεν ἡ κακοδαίμων θύραζε, καὶ ἀπώλετο.” ἤδη δ’ αἱ κόραι πεπαυμέναι ἦσαν τοῦ χοροῦ, καὶ ἐθεῶντο τὴν μητέρα τὴν ἐμήν, ἐν ἐλπίδι οὖσαι πολλῇ· ἡ δ’ εὐθὺς καθημένη ἐν μέσῳ, εἶπε τοιάδε.

“ἔστι μὲν δὴ ὁ Ἑρμῆς, ὡς καὶ ἴστε, θεὸς μέγας καὶ φιλάνθρωπος· καὶ γὰρ ὅ τι ἂν εὕρωμεν, εὕρημα δίδωσιν ὁ Ἑρμῆς. ὁ δὲ παῖς ἐστι Διὸς καὶ Μαίας· καὶ ἐπεὶ τάχιστα ἔτεκεν αὐτὸν ἡ μήτηρ, τυλίξασα αὐτὸν ἐν σπαργάνοις ἐτίθει ἐν τῷ λίκνῳ, ὅπου καθεύδειν φιλεῖ τὰ βρέφη. ἀλλ’ οὐ πολὺν χρόνον ἔκειτο ἐν τῷ λίκνῳ· ἀλλ’ ἐπεὶ ᾔσθετο τὴν μητέρα καθεύδουσαν ἐπὶ τῆς κλίνης, ἐξεπήδα εὐθύς.” πρὸς ταῦτά τις τῶν κορῶν, “καὶ πῶς, ἔφη, βρέφος ἂν ἐκπηδήσειεν εὐθὺς τεχθέν;” ἡ δὲ μήτηρ μου, “ἀλλ’ ἴσθι θεὸν ὄντα, ἔφη, ὦ γλυκυτάτη· οὐ γὰρ ἂν τοῦτο ποιοίη θνητὸν βρέφος. ἐκπηδήσας οὖν, ἔλαθεν ἐξελθὼν ἐκ τοῦ ἄντρου—ἐν ἄντρῳ γὰρ ἐτέχθη· καὶ ἐζήτει τὰς τοῦ Ἀπόλλωνος βοῦς. ἀλλ’ ἰδού, πέλας τοῦ ἄντρου χελώνη· καὶ ἰδὼν τὴν χελώνην κάρτα ἥσθη ὁ Ἑρμῆς· καὶ ἐγέλασεν ἰδὼν σαῦλα βαίνουσαν τὴν χελώνην ῥαιβοῖς τοῖς ποσί· καὶ εἶπε, ‘χαῖρε· δέχομαι γὰρ σύμβολον καλόν. πόθεν ἠμφίεσαι τὸ αἰόλον ὄστρακον τοῦτο, ὦ χελώνη; ἀλλ’ οἴσω σ’ οἴκαδε λαβών, καὶ ἔσει μοι καλὸν ἄθυρμα. ἆρ’ οὐκ εἶπες τῷ Διΐ, ὅτι οἶκος ἄριστος; καὶ μὴν οἴκοι γ’ ἄμεινον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύραζε.’ ταῦτ’ εἰπών, χερσὶν ἀμφοτέραις ἄρας τὴν χελώνην οἴκαδε κομίζει. καὶ λαβὼν μάχαιραν, ἐξέταμε τὰς σάρκας τῆς χελώνης· καὶ δέρμα βοὸς ἀμφέτεινεν, ὥστε ἠχεῖν καλῶς· εἶτ’ ἐνέθηκεν ἐπ’ ἄκρας τῆς χελώνης δύο κέρατε, ἔζευξε δὲ τὼ κέρατε ζυγὸν ἐπιθείς· ἐξῆψε δ’ ἐκ τοῦ τε ζυγοῦ καὶ τῆς χελώνης ἑπτὰ χορδάς, ὥστε συμφώνους εἶναι.

τελευτῶν δὲ πλῆκτρον λαμβάνει, καὶ ψάλλει· καὶ γίγνεται λύρα ἤδη."

ταῦτ᾽ ἀκούσασαι συνεκρότησαν τὰς χεῖρας αἱ κόραι· φησὶ δέ τις αὐτῶν, "ἀλλ᾽, ὦ μάμμη, πῶς ἄρ᾽ ἔκλεψε τὰς βοῦς; ἦ γὰρ ἔλαθε κλέψας ὁ πανοῦργος;" ἡ δ᾽ ἀπεκρίνατο· "τί μήν; ἀλλ᾽ ἀκούσεσθε. ὁ γὰρ Ἑρμῆς τὴν μὲν λύραν κατέθηκε κρύψας ἐν τοῖς σπαργάνοις· αὐτὸς δέ—ἑσπέρα γὰρ ἦν—ἔφθασεν ἐλθὼν πρὸς τὸν λειμῶνα, ἐν ᾧ ἐνέμοντο αἱ βόες αἱ τοῦ Ἀπόλλωνος· καὶ τῶν βοῶν ἀπέλαβε πεντήκοντα τὰς ἀρίστας· ἤλαυνε δὲ ἄγων κατὰ χῶρον ψάμμου μεστόν, τοιάνδε μηχανὴν μηχανησάμενος· τὰς μὲν ὁπλὰς ἐναντίας ἐποίησε, τάς τ᾽ ὄπισθεν πρόσθεν καὶ τὰς πρόσθεν ὄπισθεν· ὥστε ἐπορεύοντο ἔμπαλιν· καὶ αὐτὸς ὕστατος πορευόμενος ἀνέκρουε τὰς βοῦς, ἐλαύνων ἔμπροσθεν ἑαυτοῦ. τὰ δὲ σάνδαλα τὰ ἑαυτοῦ ἐνετύλιξε κλάδοις πολλοῖς καὶ παντοίοις, ὥστε θαῦμα παρέχειν τοῖς ἰδοῦσιν· οὕτως γοῦν ἄφραστα καὶ ἄγνωστα ἦν τὰ ἴχνη. καὶ δὴ καὶ ἰδὼν ἄν τις τὰ ἴχνη ἐνόμισεν ἐξ ἐναντίου πορεύσασθαι τὰς βοῦς. καὶ ἄλλον μὲν οὐδέν᾽ εἶδεν, γέρων δέ τις ἦν ἐν τῇ ὁδῷ σκάπτων περὶ τὰς ἀμπέλους· τοῦτον τὸν γέροντα ἰδὼν ὁ Ἑρμῆς προσεῖπεν· 'ὦ γέρον, ἄμεινον μὲν ἰδόντα μὴ ἰδεῖν, καὶ ἀκούσαντα κωφὸν εἶναι, ἐὰν μὴ σὸν ἔργον ᾖ τι.' μετὰ τοῦτον οὐδέν᾽ ἄλλον εἶδεν, ἕως τὰς βοῦς εἰς αὐλὴν ἤλασεν· ἔλαμπε δ᾽ ἡ σελήνη. ἐνθένδε συλλέγει μὲν ξύλα πολλά· καὶ λαβὼν ὄζον δάφνης, τῇ μαχαίρᾳ ἐπέλεψε· ἐπιλέψας δὲ ὀξὺν ἐποίει· καὶ καταθεὶς μὲν χαμαὶ ἄλλο τι ξύλον ξηρόν, λαβὼν δὲ ταῖς χερσὶν τὸν κλάδον, ἐπιθεὶς δ᾽ ἐπὶ τοῦ ξύλου τὸν κλάδον, ἐδίνει ἔχων τὸν κλάδον ἀμφοτέραις ταῖς χερσίν, ὥσπερ τρύπανον δινοῦσιν οἱ τέκτονες, ἕως καπνόν τε καὶ πῦρ ἀνέδωκεν. οὕτως μέν νυν πρῶτον ἐφεῦρε τὰ πυρεῖα ὁ Ἑρμῆς. καὶ ἐπειδὴ τὸ

πῦρ ἔκαιεν, ἅπτει εὐθὺς τὰ ξύλα· καὶ φλὸξ λάμπει. ἔπειτα δύο βοῦς ἐξελαύνει ἐκ τῆς αὐλῆς, καὶ σφάζει, καὶ κρέα τέμνει, καὶ ὀπτᾷ ἀμφ' ὀβελοῖς· δώδεκα ποιεῖ μοίρας τοῖς μεγάλοις θεοῖς δώδεκα οὖσι· τὰ δ' ἄλλα κατατίθησιν ἐν τῇ αὐλῇ. αὐτὸς δ' οὐκ ἐσθίει, καίπερ πεινῶν· οὐκέτι γὰρ ἤσθιε κρέας· γάλα μόνον ἔπινεν. καὶ τελευτῶν τά τε σάνδαλα προῆκεν εἰς τὸν ποταμόν, καὶ τοὺς ἄνθρακας ἔσβεσεν, καὶ ἀνεχώρει πρὸς τὸ ἄντρον· εἰσελθὼν δ' εἰς τὸ ἄντρον, κατεκεῖτο ἐν τῷ λίκνῳ, ἐντυλίξας ἑαυτὸν τοῖς σπαργάνοις."

ταῦτα μέν νυν εἶπεν ἡ μήτηρ μου· ἐθαύμασαν δὲ κάρτα αἱ κόραι, οἷα ἐποίησεν ὁ Ἑρμῆς τηλικοῦτος ὤν. καὶ λέγει ἡ μήτηρ· "ὁρᾶτε, ὦ κόραι, οἷον τὸ θαῦμα τῶν θεῶν· ὁ γὰρ Ἑρμῆς, ἑῷος γεγονώς, περὶ μεσημβρίαν ἐκιθάριζε, καὶ ἑσπέριος ἔκλεψε τὰς βοῦς τοῦ Ἀπόλλωνος, ἐν τῇ αὐτῇ ἡμέρᾳ ἐν ᾗ περ ἔτεκεν αὐτὸν ἡ Μαῖα. ἀλλὰ τὰ μετὰ ταῦτα οὐχ ἧττον θαυμάσια. ἠγέρθη γὰρ ἡ Μαῖα ἐξ ὕπνου· οὐδ' ἔλαθεν αὐτὴν τὸ γενόμενον, θεὸν οὖσαν· καὶ ἰδοῦσ' αὐτὸν κείμενον ἐν τῷ λίκνῳ, ἔχοντα τῇ ἀριστερᾷ τὴν χελώνην, ἐπυνθάνετο τί γέγονε, λέγουσα τάδε· 'πόθεν ἔρχῃ, ὦ ἀναιδέστατε; νῦν σε μάλ' οἶμαι δίκην δώσειν τῷ Ἀπόλλωνι, πληγὰς λαβόντα ἢ δεθέντα· ὡς μέγα κακὸν ἐφύτευσέ σ' ὁ πατήρ.' ἀμείβεται δ' ὁ παῖς δόλια λέγων· 'μῆτερ ἐμή, τί με πλύνεις οὕτως, νήπιον ὄντα; ὃς οὐδὲν σύνοιδ' ἐμαυτῷ κακόν, καὶ φοβοῦμαι τὴν σὴν λοιδορίαν. ἀλλ' ἴσθι μ' οὐκ αἰεὶ μενοῦντα ἐν τῷδε τῷ ἄντρῳ· ἄμεινον γὰρ συνοικεῖν τοῖς θεοῖς καὶ πλούσιον εἶναι. ἐγώ τοι κἀμαυτὸν βοσκήσω καὶ σέ· τέχνην τὴν ἀρίστην ἀσκήσω, καὶ κτήσομαι ὅσα δίκαιόν ἐστι κτήσασθαι οὐχ ἧττον ἢ Ἀπόλλων. καὶ ἐὰν μὴ δῷ ὁ πατήρ, ὄμνυμι ἦ μὴν δεινότατος ἔσεσθαι κλεπτῶν. ἐὰν δέ με ζητήσῃ ὁ

Ἀπόλλων, ἔχω δὴ ὅ τι ἀμείψομαι αὐτῷ. εἶμι γὰρ εἰς τὸν ναὸν αὐτοῦ τὸν ἐν Δελφοῖς, ἐν ᾧ πολλοί εἰσι τρίποδες καὶ λέβητες καὶ χρυσὸς πολύς, πολὺς δὲ σίδηρος, πολλὴ δ' ἐσθής· κλέψω δ' ἐκεῖθεν ἅλις, σὺ δ' ὄψει, ἐὰν ἐθέλῃς.'

"οὗτοι μέν νυν ταῦτ' ἔλεγον· ὁ δ' Ἀπόλλων ἕωθεν ἐπὶ νομὸν ἦλθεν· ἐλθὼν δ' ἐπὶ νομόν, εὗρε πεντήκοντά τινας βοῦς, τὰς ἀρίστας, ἀπολωλυίας ἐκ τῆς ἀγέλης. ζητῶν δὲ τὰς βοῦς ἀπαντᾷ τῷ γέροντι· καὶ πυνθάνεται ἀπὸ τοῦ γέροντος λέγων τάδε· 'ὦ γέρον, ζητῶν τὰς βοῦς ἔρχομαι· σὺ δ' ἂν λέγοις μοι, πότερόν τιν' ἄνδρ' ἑόρακας πορευόμενον μετὰ βοῶν.' ἀμείβεται δ' ὁ γέρων· 'ὦ φίλε, χαλεπὸν μὲν λέγειν ὅσα ὁρᾷ τις πάντα· πολλοὶ γὰρ ὁδοιπόροι παρέρχονται, οἱ μὲν κακὰ φρονοῦντες, οἱ δὲ καλά· ἀλλ' ἐγὼ ὅλην τὴν χθὲς ἡμέραν ἔσκαπτον περὶ τὰς ἀμπέλους· ἀλλ' οἶμαι, οὐ γὰρ οἶδα σαφῶς, ἑορακέναι παῖδα, ὃς ἤλαυνε βοῦς, παῖδα νήπιον, ὦ βασιλεῦ, εἶχε δὲ ῥάβδον, καὶ τὰς μὲν βοῦς ἐξόπισθεν ἤλαυνε, ἐχούσας τὰς κεφαλὰς ἐναντίον ἑαυτοῦ.'

"ταῦτα μὲν δὴ ἀποκρίνεται ὁ γέρων· ὁ δ' ἀκούσας θᾶττον ἤδη προὔβαινε· καὶ ἐν ὁδῷ κατενόησε τὰ ἴχνη, καὶ ἔλεγεν· 'ὦ Γῆ καὶ θεοί, οἷα ὁρῶ, ἴχνη πάλιν τετραμμένα βοῶν, καὶ δὴ καὶ ἄλλα βήματα, οὔτ' ἀνδρὸς ὄντα οὔτε γυναικός, οὐδὲ λύκων οὐδὲ μὴν λεόντων· ἦ που κενταύρου λέγοιμ' ἂν ταῦτα εἶναι; δεινὰ γοῦν πάντων μάλιστα.' ἑπόμενος δὲ τοῖς ἴχνεσιν, ἀφίκετο πρὸς τὸ ἄντρον. ὁ δ' Ἑρμῆς ὁρῶν προσιόντα αὐτόν, κατέδυ εἰς τὰ σπάργανα· ἐν δ' ὀλίγῳ συνήλαυνε κεφαλήν τε καὶ πόδας καὶ χεῖρας· καὶ σχῆμα μὲν ἐποίει ὡς καθεύδων, τῷ δ' ὄντι ἠγρύπνει· χελώνην δ' εἶχεν ὑπὸ μασχάλης. ἔγνω δ' ὁρῶν ὁ Ἀπόλλων τήν τε νύμφην καὶ τὸν παῖδα· καὶ ἐρευνήσας κατὰ πᾶν τὸ ἄντρον, ἔλεγε τάδε· 'ὦ

παῖ, ὃς ἐν λίκνῳ κεῖσαι, μήνυέ μοι τὰς βοῦς θᾶττον· ἐπεὶ διοισόμεθα νῶϊ οὐ κατὰ κόσμον. ῥίψω γάρ σε ἐς Τάρταρον λαβών, ἐς σκότον δεινὸν καὶ ἀμήχανον· ἐξ οὗ οὐκ ἔστιν ὅστις λύσει σ' οὐδείς.' ἀποκρίνεται δ' ὁ παῖς, δόλια φρονῶν· 'ὦ Ἄπολλον, τί τόδε λέγεις; τί ζητεῖς βοῦς ἐνθάδε; οὐκ εἶδον, οὐκ ἐπυθόμην, οὐκ ἄλλου ἤκουσα μῦθον· οὐκ ἂν σοι μηνύσαιμ' ἔγωγε, οὐδ' εἰ μισθὸν ὑπόσχοιο. ἦ γὰρ ἔοικα ἐλατῆρι βοῶν ἐγώ; οὐκ ἐμόν γ' ἔργον τοῦτο, ἀλλὰ ὕπνος τε, καὶ γάλα καὶ σπάργανα ἔχειν, καὶ λουτρὰ θερμά. θαῦμα δ' ἂν εἴη μέγα, εἰ παῖς νήπιος βοῦς ἐλαύνοι. ἀλλὰ χθὲς ἐγενόμην, ἀλλ' ἁπαλοὶ οἱ πόδες, τραχεῖα δὲ γῆ. εἰ δ' ἐθέλεις, ὄμνυμι τὴν πατρὸς κεφαλήν, ἦ μὴν μὴ κλέψαι τὰς βοῦς.' ταῦτ' ἔλεγεν ὁ Ἑρμῆς· ὁ δ' Ἀπόλλων γελάσας, 'ὦ πανοῦργε, ἔφη, ἦ πολλοὺς ἀπατήσειν σ' οἴομαι, οἷα πεποίηκας ἐμέ. ἀλλ' ἐκ λίκνου κατάβα· καὶ κεκλήσῃ ἀρχηγὸς κλεπτῶν.' ὡς ἄρ' ἔλεγεν ὁ Ἀπόλλων, καὶ λαβὼν τὸν παῖδα ἔφερε ταῖς χερσίν· ὁ δ' ἐπέπταρε, οἰωνὸν χρηστόν· ὁ δ' Ἀπόλλων μειδιάσας λέγει πρὸς αὐτόν· 'θάρρει, βρέφος· τοιούτῳ γὰρ οἰωνῷ οὐκ ἔστιν ὅπως οὐχ εὑρήσω τὰς βοῦς, σὺ δέ μοι ἡγεμὼν γενήσῃ.' ταῦτ' εἶπεν· ὁ δὲ ἐκάλυψε ταῖς χερσὶν τὰ ὦτα, καὶ ἐβόα λέγων· 'ποῖ με φέρεις, ὦ θαυμάσιε; ἦ μοι λοιδόρῃ βοῶν ἕνεκα; εἴθ' ἀπόλοιτο γένος βοῶν· οὐ γὰρ ἔκλεψα τὰς σὰς βοῦς ἔγωγε, οὐδ' ἤκουσα ὅστις ἔκλεψεν, οὐδὲ μὴν οὐδ' οἶδ' αἵτινές εἰσι βοῦς· τὸ γὰρ ὄνομα μόνον ἐπίσταμαι ἀκούσας. δός μοι δίκην καὶ δέξαι παρὰ Διὶ Κρονίωνι.'

"ταῦτα δὴ ἐπεὶ ἀπεκρίνατο ὁ παῖς, ἀφίκοντο πρὸς τὸν Ὄλυμπον· οἱ δ' ἀθάνατοι ἦσαν ἐν τῷ Ὀλύμπῳ συλλελεγμένοι. καὶ ἔστησαν ὅ θ' Ἑρμῆς καὶ ὁ Λητοῦς υἱὸς ἔμπροσθεν τοῦ Διός· ὁ δὲ Ζεὺς ἔλεγε πρὸς τὸν Ἀπόλλωνα· 'Φοῖβε, πόθεν ἄγεις ταύτην τὴν

ἄγραν; σπουδαῖον δὴ πρᾶγμα ἦλθεν ἐς ὁμιλίαν θεῶν.' ἀποκρίνεται δ' ὁ Ἀπόλλων, 'ὦ πάτερ, ἀκούσῃ μῦθον οὐ φαῦλον. τὸν παῖδα δὴ τοῦτον εὗρον ἐγώ, ὅστις ἐστίν, ἐν ἄντρῳ τῆς Κυλλήνης, οἷον οὐδείς πω ἑόρακεν ἀνθρώπων οὐδὲ θεῶν. οὗτος γὰρ κλέψας τὰς ἐμὰς βοῦς χθές, ἤλαυνεν ἑσπέριος παρ' αἰγιαλόν, στρέψας ἔμπαλιν τὰ ἴχνη οὐκ οἶδ' ὅπως· αὐτὸς δ' ἐλάσας κατέκειτο ἐν τῷ λίκνῳ ἥσυχος, τὼ δ' ὀφθαλμὼ ὠμόργνυ ὥσπερ οὐδὲν εἰδώς, καὶ ἔλεγεν, "οὐκ εἶδον, οὐκ ἐπυθόμην, οὐκ ἄλλου ἤκουσα μῦθον, οὐδὲ μὴν οὐδ' οἶδ' ὅ τι ἐστὶν ἡ βοῦς, πλὴν τοῦ ὀνόματος μόνον."'

"ὁ μέν νυν ταῦτ' εἶπεν· ὁ δ' Ἑρμῆς ἀπεκρίνατο· 'Ζεῦ πάτερ, ἐγώ σοι ἐρῶ τὴν ἀλήθειαν· νήπιος γάρ εἰμι, οὐδ' οἶδα ψεύδεσθαι. ἦλθεν εἰς ἡμετέρου ζητῶν βοῦς οὗτος, οὐδὲ μάρτυρα παρέσχεν οὐδένα· μηνύειν δέ μ' ἐκέλευεν ὑπ' ἀνάγκης, ἀπειλῶν ἦ μὴν καταβαλεῖν μ' ἐς Τάρταρον. ἀλλ' ἐγὼ χθιζὸς ἐγενόμην, ὡς καὶ αὐτὸς οἶδεν, οὐδ' ἔοικα δήπου ἐλατῆρι βοῶν. πείθου (καὶ γὰρ πατὴρ φῂς σὺ εἶναι) ὡς οὐκ ἤλασα βοῦς οἴκαδε· οὕτως ὄλβιος εἴην, ὡς οὐκ ἔβην ὑπὲρ οὐδόν· τοῦτο λέγω ἀληθῶς. οἶσθα καὶ αὐτὸς ὅτι οὐκ αἴτιός εἰμι· καὶ λέγω ἐφ' ὅρκου· οὐ μὰ τὰς πύλας τάσδε. καὶ μὴν τίσω γ' ἐκείνῳ ποτὲ τὸ ψεῦδος· σὺ δὲ βοήθει τοῖς ἥττοσιν.'

"ταῦτ' εἶπεν ὁ Ἑρμῆς, ἐν σπαργάνοις ὤν· ἀκούσας δ' ὁ Ζεὺς μέγ' ἐγέλασε· καὶ εὐθὺς ἐκέλευσεν ἄμφω μὲν ζητεῖν, δεῖξαι δ' Ἑρμῆν ὅπου ἔκρυψε τὰς βοῦς· ὁ δ' ἐπείθετο. ἰδὼν δὲ τὰς βοῦς ὁ Ἀπόλλων εἶπε· 'πῶς, ὦ παῖ, ἠδύνω σφάζειν δύο βόε, νεογνὸς ὤν; θαυμάζω σε τοῦ κράτους· ἀλλ' οὐ χρή σ' αὐξάνεσθαι μέγαν.' καὶ ταῦτ' εἰπὼν ἔμελλε μὲν δεσμεύσειν αὐτόν, ὁ δὲ λαβὼν τὴν λύραν τῇ ἀριστερᾷ καὶ τῇ δεξιᾷ τὸ πλῆκτρον, οὕτως ἔψαλλε καὶ τοιοῦτο μέλος ᾖδεν, ὥσθ' ὁ Ἀπόλλων ἐγέλασεν ἡσθείς, καὶ 'ὦ πανοῦργε, ἔφη,

ἀξίαν μοι ἔδωκας τιμὴν καὶ πεντήκοντα βοῶν. πόθεν ἔχεις τὸ καλὸν τοῦτ' ἄθυρμα, καὶ πόθεν τέχνην τοιαύτην; τίς σ' ἐδίδαξεν; δόξα δὴ ἔσται σοι ἥδε, οἷον κιθαρίζεις.' ἀμείβεται ὁ Ἑρμῆς· 'οὐδεὶς φθόνος, ὦ Ἄπολλον· ἰδού, δίδωμί σοι τὴν χελώνην. ᾆδε καὶ κιθάριζε, ἐπεὶ βούλει· σὺ δέ μοι δὸς κῦδος.' καὶ δὴ καὶ ἐδίδου τὴν λύραν, ἐδέξατο δ' ὁ Ἀπόλλων ἡσθείς. καὶ ὅρκον ὠμνύτην μέγαν, μὰ Στυγὸς ὕδωρ, ὁ μὲν Ἀπόλλων φίλος ἔσεσθαι τῷ Ἑρμῇ, ὁ δ' Ἑρμῆς μήποτε κλέψειν τὰ τοῦ Ἀπόλλωνος."

τοιαῦτ' ἔλεγεν ἡ μήτηρ· αἱ δὲ κόραι πᾶσαι ἥσθησάν τε τῷ μύθῳ, καὶ δὴ καὶ ἄλλον ἠξίουν ἀκούειν. ἡ δ' οὐκ ἤθελεν· ὥρα γὰρ ἦν δείπνου.

41

ΚΡΙΣΙΣ

ἐξήλθομεν εἰς τὰ ὄρη ἐγώ τε καὶ ὁ ἀδελφός, καὶ περὶ μεσημβρίαν, θάλποντος τοῦ ἡλίου, ἐπαυσάμεθα παρὰ κρηνῇ· καὶ ἰδοὺ τρεῖς ἄνδρες καὶ γυνή· οἱ μὲν δύο ἄγροικοι ἦσαν, ὁ δὲ ἦν γέρων τις. ἠμφισβήτουν δὲ περί τινος πράγματος. καὶ τὰ ὀνόματα τῶν ἀνδρῶν εἰδὼς ἐρῶ· ἦσαν γὰρ οἱ ἄγροικοι Δᾶος καὶ Συρισκός, ὁ δὲ γέρων Σμικρίνης. διελέγοντο δ' ὧδε.

Σ. ἀδικεῖς, φεύγεις τὸ δίκαιον.

Δ. συκοφαντεῖς· οὐ δεῖ σ' ἔχειν τὰ μὴ σά.

Σ. ἐπιτρεπτέον τινὶ περὶ τούτων ἐστί.

Δ. βούλομαι· κρινώμεθα.

Σ. τίς οὖν;

Δ. ἐμοὶ μὲν πᾶς ἱκανός.

Σ. τοῦτον λαβεῖν βούλει κριτήν;

Δ. ἀγαθῇ τύχῃ.

Σ. πρὸς τῶν θεῶν, ὦ βέλτιστε, μικρὸν ἂν σχολάσαις ἡμῖν χρόνον;

Σμ. ὑμῖν; περὶ τίνος;

Σ. ἀντιλέγομεν πρᾶγμά τι.

Σμ. τί οὖν ἐμοὶ μέλει;

Σ. κριτὴν τούτου ζητοῦμεν ἴσον· εἰ δή σε μηδὲν κωλύει, διάλυσον ἡμᾶς.

Σμ. ὦ κάκιστ' ἀπολούμενοι, ἆρα δίκας λέγοντες περιπατεῖτε, διφθέρας ἔχοντες;

Σ. ἀλλ' ὅμως, δὸς τὴν χάριν, πάτερ· βραχὺ γὰρ τὸ πρᾶγμα, καὶ ῥᾴδιον μαθεῖν. μὴ καταφρονήσῃς, πρὸς θεῶν.

Σμ. ἐμμενεῖτε οὖν, εἰπέ μοι, οἷς ἂν δικάσω;

Σ. πάντως.

Σμ. ἀκούσομαι· τί γὰρ τὸ κωλῦον; σὺ πρότερος ὁ σιωπῶν λέγε.

Δ. μικρόν γ' ἄνωθεν, ἵνα ᾖ σοι σαφῆ τὰ πράγματα. ἐν τῷ δασεῖ τῷ πλησίον τούτων τῶν χωρίων ἐποίμαινον, ὦ βέλτιστε, τριακοστὴν ἴσως ταύτην ἡμέραν, αὐτὸς μόνος, καὶ εὗρον ἐκκείμενον παιδάριον νήπιον, ἔχον δέραια, καὶ τοιοῦτόν τινα κόσμον.

Σ. περὶ τούτων ἐστίν.

Δ. οὐκ ἐᾷ λέγειν.

Σμ. ἐὰν λαλῇς μεταξύ, καθίξομαί σου τῇ βακτηρίᾳ.

Δ. καὶ δικαίως.

Σμ. λέγε.

Δ. λέγω. ἀνειλόμην, ἀπῆλθον οἴκαδε ἔχων αὐτά· τρέφειν ἔμελλον. ἀλλ' ἐν νυκτὶ βουλὴν διδοὺς ἐμαυτῷ, διελογιζόμην· τί μοι παιδοτροφίας καὶ κακῶν; πόθεν δ' ἐγὼ ἀναλώσω τοσαῦτα; τί φροντίδων ἐμοί; τοιουτοσί τις ἦν. ἕωθεν πάλιν ἐποίμαινον· ἦλθεν δ' οὗτος (ἔστι δ' ἀνθρακεύς) εἰς τὸν αὐτὸν τόπον, ἐκπρίσων στελέχη. πρότερον δέ μοι συνήθης ἐγεγόνει. ἐλαλοῦμεν ἀλλήλοις· ὁ δὲ σκυθρωπὸν ὄντα μ' ἰδών, "τί σύννους, φησί, Δᾶος;" "ὅτι σύννους ἐγώ; περίεργός εἰμι." καὶ λέγω αὐτῷ τὸ

πρᾶγμα, ὡς εὗρον τὸ παιδάριον, ὡς ἀνειλόμην. ὁ δὲ τότε μὲν εὐθύς, πρὶν πάντ' εἰπεῖν, ἐδεῖτο· "ἐμοὶ τὸ παιδίον δός· γυναῖκα γὰρ ἔχω· τεκούσῃ δ' ἀπέθανε τὸ παιδίον."

Σμ. ἐδέου σύ γε;

Σ. ἐδεόμην.

Δ. ὅλην τὴν ἡμέραν κατέτριψε· δεομένῳ καὶ πείθοντί με, ὑπεσχόμην. ἔδωκα, ἀπῆλθε μυρία εὐχόμενος ἀγαθά· κατεφίλει τὰς χεῖρας λαβών.

Σμ. ἐποίεις ταῦτα;

Σ. ἐποίουν.

Δ. ἀπηλλάγη. καὶ περιτυχών μοι ἄφνω μετὰ τῆς γυναικός, ἀξιοῖ ἀπολαμβάνειν τὰ συνεκτεθέντα τούτῳ· μικρὰ δ' ἦν ταῦτα, λῆρός τις, οὐδέν· καὶ δεινὰ πάσχειν φησίν, διότι οὐκ ἀποδίδωμι, ἀλλ' αὐτὸς ἀξιῶ ἔχειν ταῦτα. ἐγὼ δέ γ' αὐτὸν φημὶ δεῖν χάριν ἔχειν, οὗ μετέλαβεν δεόμενος. εἰ μὴ πάντα δίδωμι, τί δεῖ μέμφεσθαι; εἰ γὰρ βαδίζων ἅμ' ἐμοὶ εὗρε ταῦτα, καὶ ἦν κοινὸς Ἑρμῆς, τὸ μὲν ἂν ἔλαβεν οὗτος, τὸ δ' ἐγώ· ἀλλὰ μόνος εὗρον ἐγώ· σὺ δ' οὐ παρὼν οἴει πάντα δεῖν ἔχειν αὐτός, ἐμὲ δ' οὐδέν; τὸ τέλος· δέδωκά σοι ἑκών τι τῶν ἐμῶν· εἰ τοῦτ' ἀρέσκει, καὶ νῦν ἔχε· εἰ δὲ μὴ ἀρέσκει, ἀπόδος πάλιν καὶ μηδὲν ἀδίκει. πάντα δ' οὐ δεῖ σ' ἔχειν. εἴρηκα τόν γ' ἐμὸν λόγον.

Σ. εἴρηκεν;

Σμ. οὐκ ἤκουσας; εἴρηκεν.

Σ. καλῶς. οὐκοῦν ἐγὼ μετὰ ταῦτα. μόνος εὗρε τὸ παιδίον οὑτοσί, καὶ πάντα ταῦθ' ἃ νῦν λέγει ὀρθῶς λέγει, ὦ πάτερ· καὶ γέγονεν οὕτως· οὐκ ἀντιλέγω. δεόμενος, ἱκετεύων, λιπαρῶν ἐγὼ ἔλαβον παρ' αὐτοῦ τοῦτο· ἀληθῆ γὰρ λέγει. ποιμήν τις, πρὸς ὃν ἐλάλησεν, ἐξήγγειλέ μοι, συνευρεῖν αὐτὸν ἅμα κόσμον τινά· ἐπὶ τοῦτον τὸν κόσμον, ὦ πάτερ, πάρεστιν αὐτὸς ὁ παῖς.—τὸ παιδίον δός

μοι, γύναι.—οὗτός σ' ἀπαιτεῖ, ὦ Δᾶε, τὰ δεραια καὶ γνωρίσματα· ἑαυτῷ γάρ φησι ταῦτ' ἐπιτεθῆναι κόσμον, οὐ σοὶ διατροφήν. νῦν, βέλτιστε, γνωστέον σοι ταῦτα, ὡς ἐμοὶ δοκεῖ· πότερον δεῖ ταῦτα, ἅττα ποτ' ἐστί, τηρεῖσθαι, κατὰ τὴν δόσιν τῆς μητρός, ἕως ἂν ἐκτραφῇ τὸ παιδίον· ἢ τὸν κλέψαντα ἔχειν τἀλλότρια, εἰ καὶ πρῶτος εὗρεν. τί οὖν οὐκ ἀπῄτουν ταῦτα τότε, ὅτ' ἐλάμβανον τὸ παιδίον; οὔπω ᾔδη εὑρημένα. ἥκω δὲ καὶ νῦν οὐκ ἐμαυτοῦ γ' ἕνεκα ἀπαιτῶν οὐδέν· ποῦ δὲ κοινὸς Ἑρμῆς, ὅπου πρόσεστι σῶμα ἀδικούμενον; οὐκ ἔστιν εὕρεσις αὕτη, ἀλλ' ἀφαίρεσις. βλέψον δὲ κἀκεῖ, πάτερ· ἴσως οὑτοσὶ γενναῖός τίς ἐστι τὸ γένος, ὑπὲρ ἡμᾶς, καὶ ἐν ἐργάταις τραφεὶς ὑπερόψεται ταῦτα, καὶ τολμήσει ἐλεύθερόν τι ποιεῖν, θηρᾶν λέοντας, βαστάζειν ὅπλα, τρέχειν ἐν ἀγῶσιν. ἆρ' οὐ Νηλέα τινὰ καὶ Πελίαν εὗρε πρεσβύτης ἀνὴρ αἰπόλος, ἔχων διφθέραν οἵαν καὶ ἐγὼ νῦν; ὡς δ' ᾔσθετο αὐτοὺς κρείττονας ἑαυτοῦ ὄντας, λέγει τὸ πρᾶγμα, ὡς εὗρεν, ὡς ἀνείλετο. ἔδωκε δ' αὐτοῖς πηρίδιον γνωρισμάτων, ἐξ οὗ μαθόντες τὰ καθ' αὑτοὺς σαφῶς, ἐγένοντο βασιλῆς, οἱ πρότερον ὄντες αἰπόλοι. εἰ δ' ὁ Δᾶος ἐκλαβὼν ἐκεῖνα ἀπέδοτο, ἵνα κερδάνειε δραχμὰς δώδεκα, ἀγνῶτες ἂν διετέλουν ὄντες τὸν πάντα χρόνον, οἱ τηλικοῦτοι ὄντες καὶ τοιοῦτοι τὸ γένος. οὐ δὴ καλῶς ἔχει τὸ μὲν σῶμα ἐκτρέφειν ἐμέ, τὴν δὲ σωτηρίας ἐλπίδα λαβόντα Δᾶον ἀφανίσαι, πάτερ. πολλάκις διὰ γνωρίσματα ἔσωσέ τις ἀδελφὸν ἢ μητέρα. ἔστιν ἐπισφαλὴς φύσει ὁ βίος, πάτερ, ἁπάντων· ὥστε μετὰ προνοίας δεῖ τηρεῖν τὰ τοιαῦτα. ἀλλά, φησίν, ἀπόδος, εἰ μὴ ἀρέσκει. τοῦτο γὰρ οἴεταί που ἰσχυρόν τι ἔχειν πρὸς τὸ πρᾶγμα. οὐκ ἔστι δίκαιον, εἴ τι τῶν τούτου δεῖ σ' ἀποδιδόναι, καὶ τοῦτον πρὸς ζητεῖς λαβεῖν, ἵνα ἀσφαλέστερον πονηρὸς γένῃ. εἴρηκα· κρῖνον ὅ τι δίκαιον νομίζεις.

Σμ. ἀλλὰ ῥᾴδιόν ἐστι κρίνειν. πάντα τὰ συνεκκείμενα τοῦ παιδίου ἐστί· τοῦτο γιγνώσκω.

Δ. καλῶς· τὸ παιδίον δέ;

Σμ. οὐ μὰ Δία γνώσομαι εἶναι τὸ παιδίον τοῦ νῦν ἀδικοῦντος, ἀλλὰ τοῦ βοηθοῦντος.

Σ. πόλλ' ἀγαθά σοι γένοιτο.

Δ. δεινή γ' ἡ κρίσις, νὴ τὸν Δία τὸν Σωτῆρα· πάνθ' εὑρὼν ἐγὼ πάντα περιέσπασμαι, ὁ δ' οὐχ εὑρὼν ἔχει. οὐκοῦν ἀποδιδῶ;

Σμ. φημί.

Δ. δεινή γ' ἡ κρίσις, ἢ μηδὲν ἀγαθόν μοι γένοιτο.

Σμ. φέρε ταχύ.

Δ. ὦ Ἡράκλεις, οἷα πέπονθα.

Σμ. τὴν πήραν λαβὲ καὶ δεῖξον.

Δ. βραχὺ πρόσμεινον, ἱκετεύω σ', ἵν' ἀποδῶ. τί γὰρ ἐγὼ ἐπέτρεψα τούτῳ;

Σμ. δός ποτ', ἐργαστήριον.

Δ. αἰσχρά γ' ἐστὶν ἃ πέπονθα.

Σ. πάντ' ἔχεις;

Σμ. οἴομαί γε δή, εἰ μή γέ τι καταπέπωκε, ἐν ᾧ ἔλεγον τὴν δίκην, ὡς ἡλίσκετο.

Σ. οὐκ ἂν ᾤόμην. ἀλλ' εὐτύχει, βέλτιστε.

Δ. ἀδίκου πράγματος, ὦ Ἡράκλεις· οὔκ ἐστι δεινή γ' ἡ κρίσις;

Σ. οἴμωζε καὶ βάδιζε.

ἡμεῖς δὲ ἀκούσαντες ταῦτα ἐπῃνοῦμεν τὸν Σμικρίνην ὡς εὖ κρίνοντα τὴν δίκην· καὶ ἀπηλλάγημεν οἴκαδε.

42

ΠΑΝΑΘΗΝΑΙΑ

τὰ Παναθήναια τὰ μεγάλα ἀνὰ τέτταρα ἔτη γίγνεται, πέμπτῳ δὴ ἔτει, ὡς νομίζομεν οἱ Ἕλληνες. ἔστιν ἀγὼν μουσικῆς, ἐν ᾧ οἱ ῥαψῳδοὶ λέγουσι τὰ τοῦ





ἀγωνιζόμενοι.



κυβιστητήρ.

Ὁμήρου, καὶ κιθαρῳδοὶ κιθαρίζουσι καὶ αὐλῳδοὶ αὐλοῦσιν· ἔστι δὲ γυμνικὸς ἀγών, παίδων, ἀγενείων, ἀνδρῶν· ἀγωνίζονται δ' οἱ μὲν παῖδες οὐ πλέον ἢ ἑκκαίδεκα ἔτη γεγονότες, οἱ δ' ἀγένειοι μεχρὶ τῶν εἴκοσιν, οἱ δ' ἄνδρες πλέον τῶν εἴκοσιν. τούτοις δ' οἱ ἀγῶνες στάδιον, πένταθλον, πάλη, πυγμή, παγκράτιον, πρὸς δὲ δίαυλος, ἵππιος, ὁπλίτης. περὶ τούτων διηγήσομαι καθ' ἕκαστα ὕστερον. ἔστι δὲ καὶ ἱππικὸς ἀγών, ὅ τ' ἀποβάτης ἀπὸ δίφρου καὶ κέλης καὶ συνωρὶς πωλικὴ καὶ ἅρμα τέλειον. ἀγωνίζονται δὲ καὶ περὶ εὐανδρίας, καί εἰσι πυρριχισταὶ καὶ λαμπαδηδρομία. μετὰ δὲ τὴν λαμπαδηδρομίαν παννυχίς ἐστιν, καὶ ὀλολύγματα τῶν πρεσβυτέρων ἱερειῶν, καὶ χοροὶ καὶ ᾠδαί. καὶ τῇ ὑστεραίᾳ πομπή, ἣν πέμπουσιν οἱ νικήσαντες καὶ πομπῆς ἱερῶν καὶ ἱππῆς καὶ ταξίαρχοι καὶ στρατηγοὶ θαλλοφόροι, καὶ γυναῖκες κανηφόροι καὶ οἱ Ἀθηναῖοι κατὰ δήμους.

ἐν δὲ τοῖς Παναθηναίοις ἀνατιθέασιν τῇ Ἀθήνῃ τὸν πέπλον· ὁ δὲ πέπλος κρεμάννυται ὥσπερ ἱστίον ἀφ' ἱστοῦ μεγάλης τινὸς νεώς, ᾗ ἄγεται κατὰ τὰς ὁδοὺς ἐπὶ τὴν Ἀκρόπολιν. ἐνυφαντὰ δ' ἐστὶ τῷ πέπλῳ τὰ τῆς Ἀθήνης, ὡς ἐνίκησε μαχομένη τοῖς Γίγασιν. πάντων δ' ὑστάτη ἐστὶν ἑστίασις τῶν Ἀθηναίων· καὶ δὴ καὶ ἀγὼν ναυτικὸς ἐν Πειραιεῖ.

νῦν διηγήσομαι τὰ περὶ τῶν ἀγώνων ἀκριβῶς καθ' ἕκαστον.

τὸ μὲν στάδιον καὶ ἀγών ἐστι καὶ τόπος. ὁ δὲ τόπος ὁ στάδιον καλούμενος ὥσπερ θέατρόν ἐστιν· ἔστι δ' ἑτέρωθεν ἥμισυς κύκλος (ἡ σφενδόνη καλουμένη) μακροτέρων ὄντων τῶν κεράτων, ὥστε δρόμον γενέσθαι ἑξακοσίων ποδῶν· καὶ ἐκ τοῦ ἑτέρου ἄκρου τοῖχός ἐστιν. ἑδώλια δ' ἐστὶ καὶ ἐπὶ τῆς σφενδόνης καὶ ἐπὶ τῶν κεράτων, ἐν οἷς πολὺς ὄχλος καθίζεται. ἐντὸς οὖν τοῦ τοίχου γραμμή ἐστιν ἐν τῇ γῇ, ἀφ'

ἧς ἀφίενται οἱ ἀγωνιζόμενοι· βαλβὶς δ' ὀνομάζεται ἡ γραμμή. ἐν μέσῃ αὖ τῇ σφενδόνῃ τέρμα πέπηκται, ὁ καὶ καμπτὴρ λεγόμενος, περὶ γὰρ τοῦτον κάμπτουσι διαθέοντες. τοιαῦτα μὲν δὴ περὶ τοῦ τόπου· ὁ δ' ἀγὼν ὁ στάδιον καλούμενος δρόμος ἐστὶν ἁπλοῦς ἀπὸ τῆς βαλβῖδος πρὸς τὸ τέρμα. καὶ στάδιον ὀνομάζεται καὶ δρόμος.

τὸ δὲ πένταθλον πέντε ἐνέχει ἀγῶνας, ἓν ὄν·

ἅλμα, ποδωκείαν, δίσκον, ἄκοντα, πάλην.

οἱ γὰρ ἀγωνιζόμενοι ἅλλονται, τρέχουσι, πάλλουσι δίσκον καὶ ἄκοντα, καὶ παλαίουσιν. ὁ δὲ τρεῖς νικήσας τῶν πέντε ἀγώνων νικᾷ τὸ πένταθλον. τοιαῦτα μὲν δὴ περὶ τοῦ πεντάθλου καὶ τῶν πενταθλητῶν.

οἱ δὲ παλαισταὶ ἀλείφουσιν ἑαυτοὺς ἐλαίῳ, ἵνα μὴ λάβηται αὐτῶν ὁ αἰεὶ ἀνταγωνιστής. ἵστασθον δ' ἐναντίον ἀλλήλοιν· καὶ πειρῶνται αὐτοὶ μὲν μὴ λαβὴν ἐνδοῦναι, τοῦ δ' ἑτέρου λαμβάνεσθαι. χρῶνται δὲ τέχναις πολλαῖς· ἄγχει γάρ τις ἢ ἀποπνίγει περιλαμβάνων τὸν τράχηλον· καὶ ἀγκυρίζει σκέλος τῷ ἑαυτοῦ σκέλει· καὶ ὑποσκελίζει τῷ ποδὶ ὥστε χαμαὶ πεσεῖν τὸν ἕτερον· καὶ διαλαμβάνει μέσον ἔχων· καὶ πολλαῖς πλοκαῖς χρῶνται. ὁ μέντοι τρὶς καταπαλαίσας τὸν ἕτερον, νικᾷ. ἀσκοῦσι δ' ἐν τῇ παλαίστρᾳ.

περὶ μὲν δὴ τῆς πάλης τοιαῦτα· ἡ δ' πυγμὴ μάχη τίς ἐστι τῶν πὺξ μαχομένων, τοῦτ' ἐστὶ συνεσπασμένοις τοῖς δακτύλοις ὥστε σφαίρας γενέσθαι τὰς χεῖρας. τῶν πυκτῶν πληγὴ γίγνεται καὶ φυλακὴ παιόντων τε καὶ φυλαττόντων ἑαυτούς, ἕως ἂν ὁ ἕτερος πύκτης ἀπείπῃ. ἀσκοῦσι δὲ σκιαμαχοῦντες.

βαρύτατον δὴ ἀγώνισμα τὸ παγκράτιον, ἅτε καὶ πὺξ μαχομένων καὶ παλαιόντων τῶν ἀγωνιζομένων. ἔστι δ' αὕτη καὶ ὀρθία μάχη, ἑστώτων τῶν παγκρα-

τιαστῶν, καὶ ἀλίνδησις, ἐπὶ τῇ γῇ ὄντων. μάχονται δ' ἕως ἂν ὁ ἕτερος παγκρατιαστὴς ἀπείπῃ.

ὁ δίαυλος διπλοῦς ἐστι δρόμος, ἀπό τε τῆς βαλβῖδος ἐπὶ τὸ τέρμα, καὶ ἐπειδὰν στρέφωνται περὶ τὸ τέρμα, πάλιν ἀπὸ τοῦ τέρματος πρὸς τὴν βαλβῖδα. ὁ δ' ἵππιος διπλοῦς ἐστι δίαυλος, διαθεόντων τῶν δρομέων δὶς πρός τε τὴν βαλβῖδα καὶ πάλιν. τὸ δ' ἵππιος σημαίνει τὸ μῆκος μόνον· οὐ γὰρ ἵπποις χρῶνται. ἀγών ἐστι καὶ ἄλλος τῶν ὁπλιτῶν πάντα τὰ ὅπλα ἐχόντων, κνημῖδάς τε καὶ θώρακα καὶ ξίφος καὶ ἀσπίδα καὶ κόρυθα καὶ ἔγχος.

ταῦτα μὲν δὴ περὶ τούτων· νῦν δὲ διηγήσομαι περὶ τῶν ἱππικῶν ἀγώνων.

πρῶτον μέν νυν ὁ ἀποβάτης ἵσταται ἐν τῷ δίφρῳ ἐξ ἀριστερᾶς, ὁ δ' ἡνιόχος ἐκ δεξιᾶς ἡνιοχῶν τοὺς ἵππους· ἐκπηδᾷ δ' ὁ ἀποβάτης ἐκ τοῦ δίφρου φερομένων τῶν ἵππων, καὶ ἀναβαίνει πάλιν.

ὁ δὲ κέλης ἵππος ἐστὶν ἐφ' οὗ ὀχεῖταί τις ἔφηβος· καὶ συνωρὶς πωλικὴ ζεῦγός ἐστιν ἵππων μετὰ δίφρου. τὸ δ' ἅρμα τέλειον τέτταρας ἔχει ἵππους, δύο τε ζυγίους ἐν μέσῳ ὄντας καὶ δύο σειραφόρους ὄντας ἔξω τούτων. καὶ δὴ καὶ μέγας ἐστὶ κίνδυνος καμπτόντων περὶ τὸν καμπτῆρα, μὴ θίγωσιν αὐτοῦ καὶ περιπέσωσιν. περὶ μὲν δὴ τῶν ἱππικῶν τοιαῦτα.

ὁ δ' εὐανδρίας ἀγὼν ὧδε γίγνεται. ἐν ἑκάστῃ γὰρ φυλῇ ἐξελών τις τοὺς καλλίστους τε καὶ μεγίστους ἄνδρας, ἀποδείκνυσιν αὐτοὺς στολὴν πομπικὴν ἐνδεδυμένους· οἱ δὲ μάλιστα εὐδοκιμήσαντας νικῶσιν. καὶ μὴν οἱ πυρριχισταί γε πυρρίχην χορεύουσιν ἐν ὅπλοις, παίοντες τὰς ἀσπίδας τοῖς ξίφεσι, καὶ σχήματα πολλὰ ὀρχούμενοι.

πάντων δὲ καινότατόν ἐστιν ἡ λαμπαδηφορία ἢ λαμπαδηδρομία. δύο μέν εἰσι στίχοι τῶν διαθεόντων, ἢ καὶ πλείους· καὶ ἑκάστου στίχου οἱ ἀγωνισταὶ

τάττονται διά τινων ἀποστάσεων, ὥστ' ἀποστῆναι ἀπ' ἀλλήλων. καὶ πρῶτον μὲν ἀφίεται ὁ πρῶτος, ἔχων λαμπάδα φλέγουσαν· ἀφικόμενος δὲ ὡς τὸν δεύτερον, αὐτὸς μὲν παύεται τρέχων, τὴν δὲ λαμπάδα διαδίδωσι τῷ δευτέρῳ· καὶ μὴν ὅ γε δεύτερος, λαβὼν τὴν λαμπάδα ἐκ διαδοχῆς, ἀφίεται ὡς τὸν τρίτον· οὕτω πάντες διαδόχοι γενόμενοι τρέχουσιν· ὁ δ' ὕστατος ταχθεὶς ἀφίκεται πρὸς τὸ τέρμα. νικᾷ δ' οὗτος ὁ στίχος, οὗ ἂν ὁ τελευταῖος φθάσῃ ἀφικόμενος πρὸς τὸ τέρμα. ποιοῦσι δὲ τοῦτο καὶ ἐφ' ἵππων, διελαύνοντες Ἀθήνηθεν εἰς τὸν Πειραιᾶ.

καὶ δὴ καὶ ἡ πομπὴ μεγαλοπρεπές τι θέαμά ἐστιν, ὥσπερ θεῶν ἐπὶ γῆς φαινομένων.

43
ΣΥΜΠΟΣΙΟΝ

ἦν μὲν Παναθήναια τὰ μεγάλα, περὶ ὧν ἤδη ἐμνήσθην, διεξιὼν πάντα περὶ τῆς ἑορτῆς· καὶ μετὰ τὴν ἱπποδρομίαν ἐγώ τε καὶ ὁ πατὴρ—ἦν δ' ἐγώ τοι νεανίας ἤδη, ὡς καὶ εἶπον—ἐτύχομεν περιϊόντες κατὰ τὴν πόλιν, καὶ μὴν ἐντυγχάνομέν γε τῷ Καλλικλεῖ, λελουμένῳ τε καὶ τὰς βλαύτας ὑποδεδεμένῳ· ὁ δὲ πατήρ, "ὦ Καλλίκλεις, ἔφη, ποῖ εἶ οὕτω καλὸς γεγενημένος;" ὁ δ' εἶπεν ὅτι "ἐπὶ δεῖπνον εἰς Ἑρμογένους. ἐνίκησε γάρ, ὡς οἶσθά που, κέλητι· καὶ χθὲς μὲν αὐτὸν διέφυγον τοῖς ἐπινικίοις, φοβηθεὶς τὸν ὄχλον· ὡμολόγησα δ' εἰς τήμερον παρέσεσθαι. ταῦτα δὴ ἐκαλλωπισάμην, ἵνα καλὸς παρὰ καλὸν ἴω. ἀλλὰ σύ, ἦ δ' ὅς, πῶς ἔχεις πρὸς τὸ ἰέναι ἄκλητος ἐπὶ δεῖπνον;" καὶ ὁ πατὴρ εἶπεν, "οὕτως ὡς ἂν σὺ κελεύῃς." "ἕπου τοίνυν, ἔφη, ἵνα μὴ ὑστερῶμεν τῆς δαιτός, κατὰ τὴν παροιμίαν." εἱπόμεθα οὖν τῷ Καλλικλεῖ· ἐπεὶ δ' ἐγενόμεθα ἐπὶ τῃ οἰκίᾳ τῇ

Ἑρμογένους, ἀνεῳγμένην κατελάβομεν τὴν θύραν. καὶ παῖς τις τῶν ἔνδοθεν ἀπαντήσας, ἦγεν ἡμᾶς οὗ κατέκειντο οἱ ἄλλοι, καὶ κατελάβομεν ἤδη μέλλοντας δειπνεῖν· εὐθὺς δ' οὖν ὡς εἶδεν ὁ Ἑρμογένης, "ὦ, φησίν, Καλλίκλεις, κατακλίνου δή. σὺ δ', ὦ Θράσυλλε, ἐς καλὸν ἥκεις, αὐτός τε καὶ τὸ μειράκιον, ἵνα συνδειπνήσητε." καὶ ὁ παῖς ἀπένιζεν ἡμᾶς ἵνα κατακεοίμεθα· μετὰ δὲ ταῦτα ἐδειπνοῦμεν. ἐν τούτῳ δὲ Φίλιππος ὁ γελωτοποιός, κρούσας τὴν θύραν, εἶπε τῷ ὑπακούσαντι εἰσαγγεῖλαι ὅστις εἴη· ὁ οὖν Ἑρμογένης ἀκούσας ταῦτα εἶπεν, "ἀλλὰ μέντοι, ὦ ἄνδρες, αἰσχρὸν στέγης γε φθονῆσαι· εἰσίτω οὖν." ὁ δὲ στὰς ἐπὶ τῷ ἀνδρῶνι ἔνθα τὸ δεῖπνον ἦν, εἶπεν, "ὅτι μὲν γελωτοποιός εἰμι, ἴστε πάντες· ἥκω δὲ προθύμως, νομίσας ἱλαρόν τι δείξειν τοῖς συνδειπνοῦσιν." "κατακλίνου τοίνυν, ἔφη ὁ Ἑρμογένης, καὶ γὰρ οἱ παρόντες ἐνδεέστεροί πως γέλωτος, ἅτε κραιπαλῶντες ἐκ τῆς προτεραίας." κατακλιθεὶς οὖν ὁ Φίλιππος γελοῖόν τι εὐθὺς ἐπεχείρει λέγειν· ὡς δ' οὐκ ἐκίνησε γέλωτα, δὶς καὶ τρὶς εἰπών, παυσάμενος τοῦ πότου, συγκαλυψάμενος κατέκειτο. καὶ ὁ Ἑρμογένης, "τί τοῦτ', ἔφη, ὦ Φίλιππε, ἀλλ' ἢ ὀδύνη σ' εἴληφε;" καὶ ὃς ἀναστενάξας, "ναὶ μὰ Δί', ἔφη, ὦ Ἑρμόγενες, μεγάλη γε· ἐπεὶ γὰρ γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν, ἔρρει τὰ ἐμὰ πράγματα." καὶ ἅμα λέγων ταῦτα ἀπεμύττετό τε, καὶ τῇ φωνῇ σαφῶς κλαίειν ἐφαίνετο. πάντες οὖν ἐξεγέλασαν ἐπὶ τῷ οἰκτισμῷ αὐτοῦ· ὁ δ' ὡς ᾔσθετο τοῦ γέλωτος, ἀνεκαλύψατό τε καὶ ἐθάρρει εὐθύς, καὶ ἐδείπνει.

ὡς δ' ἀφῃρέθησαν αἱ τράπεζαι καὶ ἐσπείσαμεν καὶ ἐπαιανίσαμεν, ἐτραπόμεθα πρὸς τὸν πότον· ὁ δέ τις Παυσανίας λόγου τινὸς τοιούτου κατάρχει. "εἶέν, ἄνδρες, φησί, τίνα τρόπον ῥᾷστα πιόμεθα; ἐγὼ μὲν οὖν λέγω ὑμῖν, ὅτι τῷ ὄντι πάνυ χαλεπῶς ἔχω ὑπὸ

τοῦ χθὲς πότου, καὶ δέομαι ἀναψυχῆς τινος· σκοπεῖσθε οὖν τίνι τρόπῳ ἂν ὡς ῥᾷστα πίνοιμεν." ὁ οὖν Καλλικλῆς εἶπεν, "τοῦτο μέντοι εὖ λέγεις· καὶ γὰρ ἐγώ εἰμι τῶν χθὲς βεβαπτισμένων. πίνωμεν οὖν οὕτως, πρὸς ἡδονήν."

ἔδοξεν οὖν πᾶσι πίνειν ὅσον ἂν ἕκαστος βούληται ἄνευ μέθης, ἐπάναγκες δὲ μηδὲν εἶναι. μετὰ τοῦτο δὲ ὁ Ἑρμογένης, λαβὼν τήν τε λύραν καὶ τὴν μυρρίνην, ἐστεφάνωσεν ἑαυτόν, καὶ ἤρχετο ᾄδειν τὸ σκόλιον ἐκεῖνο τὸ περὶ Ἁρμοδίου·

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην,[1]
ἰσονόμους τ᾽ Ἀθήνας ἐποιησάτην.

τοῦτο δ᾽ ᾄσας, ἔδωκε τῷ Καλλικλεῖ τὴν λύραν καὶ τὴν μυρρίνην, λέγων· "δέξαι σύ, ὦ τάν, καὶ ᾆδε." ὁ δὲ δεξάμενος ᾖδεν·

φίλταθ᾽ Ἁρμόδι᾽, οὔ τί που τέθνηκας,
νήσοις δ᾽ ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεὺς[2]
Τυδεΐδην δέ φασιν Διομήδεα.[2]

παυσάμενος δ᾽ ἄλλῳ τινὶ ἔδωκεν, οὗ λέλησμαι τοῦ ὀνόματος, ὁ δὲ τετάρτῳ, οἱ δ᾽ ᾖσαν ταῦτ᾽ ἐφεξῆς·

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτ᾽ Ἀθηναίαις ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.[1]

αἰεὶ σφῷν κλέος ἔσσεται κατ᾽ αἶαν,[3]
φίλταθ᾽ Ἁρμόδιος καὶ Ἀριστογείτων,

[1] = ἐκτανέτην. [2] = Ἀχιλλεύς, Διομήδη (acc.). [3] = αἶα = γῆ.

ὅτι τὸν τύραννον κτανέτην,[1]
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

οὕτως ᾖδον, καὶ πάνυ καλῶς, ἐπὶ δεξιὰ φέροντες λύραν τε καὶ μυρρίνην καὶ ποτήριον οἴνου. καὶ μετὰ ταῦτα ὁ Ἑρμογένης εἶπε πρὸς τὸν Φίλιππον· "ὦ Φίλιππε, ἔφη, προπίνω σοί." καὶ ἅμα προπίνει, καί φησι· "τί δ' ἂν σὺ φέροις εἰς μέσον ἡμῖν; ἆρ' ἔχεις αἴνιγμά τι ἢ γρῖφον;" ὁ δ' ἀπεκρίνατο· "πάνυ μὲν οὖν, ὦ Ἑρμόγενες· αἰνίγματος ἤκουσα μάλ' ἀστικοῦ τοιοῦδε·

ἀνθρώπου μέλος εἰμ'· αἰεὶ τέμνει με σιδηρος·
γράμματος αἰρομένου δύεται ἠέλιος[2]."

καὶ οἳ ἐσίγων, σχῆμα ἀπορούντων ποιοῦντες· ὁ δὲ Φίλιππος ἡσθεὶς ἐβόα, "οὐδεὶς στοχάζεται· ποινὴ δὲ πᾶσιν ἅλμης ποτήριον." οἱ δ' ἐγέλων, ὁ δὲ πατήρ, εἰς ἐμὲ εἰσβλέψας, "οὗτος δ', ἔφη, ὁ παῖς δεινός ἐστι στοχάζεσθαι τῶν γρίφων." καὶ ἐγὼ ἐρυθριάσας, "ἀλλ', ὦ πάτερ, ἔφην, ἐπεί με κελεύεις λέγειν, δοκεῖ μοι εἶναι ὁ ὄνυξ· τῆς δὲ κεφαλῆς αἰρομένης, τοῦ οὖ, νὺξ ἤδη γίγνεται." πρὸς τοῦτ' ἐπῄνουν με πάντες, ὁ δ' Ἑρμογένης, "δός, φησίν, αὐτῷ τὸ ἆθλον." καὶ ἔδοσάν μοι ταινίαν, ἣν ἀνεδησάμην περὶ τῆς κεφαλῆς. ἀλλ' ὁ Καλλικλῆς, "τί ταῦτ', ἔφη, πρὸς συμπόσιον; οὐ γὰρ ἀπεῖπεν ὁ Ἡσίοδος μὴ κείρειν τοὺς ὄνυχας παρὰ δείπνῳ; λέγει γάρ που·

μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐνὶ δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τέμνειν αἴθωνι σιδήρῳ."

"πίνετε οὖν, ἔφη ὁ Ἑρμογένης, καὶ γὰρ λέγει ὁ αὐτός·

ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ."

[1] = ἐκτανέτην. [2] = ἥλιος.

καὶ ὁ Καλλικλῆς, "εὖ γε, φησίν, ὦ συμποσίαρχε· καί σ' ἐπαινέσω δι' εἰκόνων. φημὶ γὰρ δὴ ὁμοιότατον εἶναί σε τοῖς σειληνοῖς τούτοις, οὕστινας ἐργάζονται οἱ δημιουργοὶ σύριγγας ἢ αὐλοὺς ἔχοντας, οἳ διχάδε διοιχθέντες, φαίνονται ἔνδοθεν ἔχοντες ἀγάλματα θεῶν. τὸ μὲν γὰρ εἶδος ὁμοῖος εἶ ἐκείνοις· ἔνδοθεν δ' ἔχεις τοσαῦτα ἔπη τῶν ποιητῶν ὥστε κηλεῖν τοὺς ἀκούοντας." καὶ πάνυ ηὐδοκίμει ἐπὶ τῇ εἰκόνι· ὁ δ' Ἑρμογένης, εὔκολος ὤν, οὐδὲν ὠργίσθη, καὶ οἱ ἄλλοι ἀνεθορύβησαν πάντες.

καὶ οὐ πολὺ ὕστερον Καλλίου τὴν φωνὴν ἠκούομεν ἐν τῇ αὐλῇ — ἦν δὲ φίλος τις τοῦ Ἑρμογένους ὁ Καλλίας — μέγα βοῶντος καὶ ἐρωτῶντος "ποῦ Ἑρμογένης;" καὶ κελεύοντος ἄγειν παρ' Ἑρμογένην. ἦγε δ' αὐτὸν παρ' ἡμᾶς τις τῶν ἀκολούθων, καὶ ἦγε μεθ' ἑαυτοῦ παῖδάς τινας τῶν τὰ θαύματα ποιούντων, καὶ εὖ εἰδότων κιθαρίζειν καὶ ὀρχεῖσθαι. ὁ δ' ἐπέστη ἐπὶ τὰς θύρας ἐστεφανωμένος κιττοῦ τέ τινι στεφάνῳ καὶ ἴων, καὶ ταινίας ἔχων ἐπὶ τῆς κεφαλῆς πάνυ πολλάς, καὶ εἶπεν· "ἄνδρες, χαίρετε· ἆρα δέξεσθέ με συμπότην, ἢ ἀπίωμεν ἀναδήσαντες μόνον Ἑρμογένην, ἐφ' ᾧπερ ἤλθομεν; ἐγὼ γάρ τοι χθὲς μὲν οὐχ οἷός τ' ἐγενόμην ἀφικέσθαι, νῦν δ' ἥκω ἐπὶ τῇ κεφαλῇ ἔχων τὰς ταινίας, ἵνα ἀπὸ τῆς ἐμῆς κεφαλῆς τὴν τοῦ σοφωτάτου καὶ καλλίστου κεφαλὴν ἀναδήσω. ἄγω δὲ καὶ ἄνδρας δυναμένους θαύματα ποιεῖν ὑμῖν πάνυ καλά. ἀλλά μοι λέγετε αὐτόθεν, εἰσίω ἢ μή; συμπίεσθε ἢ οὔ;"

πάντες οὖν ἀνεθορύβησαν, καὶ ἐκέλευσαν εἰσιέναι καὶ κατακλίνεσθαι· ὁ δ' ἐκάλει Ἑρμογένην, καὶ περιαιρούμενος ἅμα τὰς ταινίας ὡς ἀναδήσων, καθέζετο παρ' αὐτόν· παρακαθεζόμενος δὲ ἠσπάζετό τε τὸν Ἑρμογένην καὶ ἀνέδει. οἱ δὲ παῖδες ὁ μὲν ηὔλησεν, ὁ δ' ἐκιθάριζε. μετὰ δὲ ταῦτα κύκλος εἰσηνέχθη περί-

μεστος ξιφῶν ὀρθῶν· εἰς οὖν ταῦτά τις τῶν παίδων ἐκυβίστα τε καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν, ὥστε οἱ θεώμενοι ἐφοβοῦντο μή τι πάθῃ· εἶτα δὲ δύο τῶν παίδων ξίφη ἔχοντες μάχεσθαι ἐδόκουν· καὶ ὁ μὲν παίει τὸν ἕτερον, ὁ δὲ κατέπεσεν ὡς ἀποθανών· ἐθεασάμεθα δὲ τὸ ξίφος πεπηγμένον δὴ ἐν τῷ σώματι τοῦ παιδός. τοῦτο θεασάμενοι ἐβοῶμεν πάντες· ἀλλ' ἰδού, ἀνίσταταί τε ὁ παῖς γελῶν καὶ ἐξέλκει αὐτὸς τὸ ξίφος. καὶ ἐγὼ οὐκέτι σιωπᾶν οἷός τ' ἦν, ἀλλ' εἶπον, "ὦ πάτερ, τουτὶ τί ἦν;" ὁ δὲ παῖς προὔτεινέ μοι τὸ ξίφος, καὶ ὁρῶ τοιόνδε τι. ἦν μὲν κοίλη ἡ κώπη· καὶ ὁπότε μεταστρέψαιμι τὸ ξίφος ὥστε κάτω γενέσθαι τὸν σίδηρον, κατατρέχει τοσοῦτον ὅσον ἦν τὸ μῆκος τῆς κώπης· ὁπότε δ' ἀναστρέψαιμι ἐς τοὔμπαλιν, αὖθις ὁ σίδηρος ἔσω κατεδύετο.

εἶπε δ' ὁ Καλλίας ἐπὶ τούτῳ, "διδακτὸν ἄρα ἡ ἀνδρεία, ἐπεί γε οὗτος παῖς ὢν οὕτω τολμηρῶς ἐπὶ τὰ ξίφη ἵεται." ὁ δὲ πατὴρ εἶπεν ὁ ἐμός, "νὴ Δία, καὶ μὴν ἔγωγε ἡδέως ἂν θεῴμην Πείσανδρον τὸν δημηγόρον μανθάνοντα κυβιστᾶν εἰς τὰς μαχαίρας, ὃς νῦν εἰρηναῖος ὢν δῆθεν, οὔτ' αὐτὸς συστρατεύεσθαι ἐθέλει, πείθει τε τοὺς πολίτας ὡς οὐ χρὴ πολεμεῖν οὐδέποτε." μετὰ ταῦτ' ἄλλος τις τῶν παίδων ὠρχεῖτο. "ἄγε δή, ἔφη ὁ Φίλιππος, καὶ ἐμοὶ αὐλησάτω, ἵνα καὶ ἐγὼ ὀρχήσωμαι." ἐπειδὴ δ' ἀνέστη, διῆλθε μιμούμενος τὴν τοῦ παιδὸς ὄρχησιν· ὡς δ' ὁ παῖς εἰς τοὔπισθεν καμπτόμενος τροχοὺς ἐμιμεῖτο, ἐκεῖνος ταῦτα εἰς τὸ ἔμπροσθεν ἐπικύπτων, μιμεῖσθαι τροχοὺς ἐπειρᾶτο· καὶ κελεύσας τὸν αὐλοῦντα θάττονα ῥυθμὸν ἐπάγειν, ἵει ἅμα πάντα καὶ σκέλη καὶ χεῖρας καὶ κεφαλήν, ἕως ἀπειπὼν κατεκλίνετο, λέγων, "ἐγὼ γοῦν, ὦ ἄνδρες, διψῶ· καὶ ὁ παῖς ἐγχεάτω μοι τὴν μεγάλην φιάλην." "νὴ Δί', ἔφη ὁ Ἑρμογένης, καὶ ἡμῖν γε, ἐπεὶ καὶ ἡμεῖς διψῶμεν ἐπί σοι γελῶντες." οἱ μὲν δὴ οἰνοχόοι

οὕτως ἐποίουν, καὶ ὁ Φίλιππος, "ἐγὼ μέν, ἔφη, ἄνδρες, μεγὰ φρονῶ ἐπὶ τούτῳ· γελωτοποιὸς γάρ εἰμι, οὐ λόγῳ μόνον ἀλλὰ καὶ ἔργῳ. σὺ δ', ὦ Καλλίκλεις, ἐπὶ τῷ μέγα φρονεῖς;" καὶ ὃς εἶπεν, "ὁ πατὴρ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενησοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδυσσείαν ἀπὸ στόματος εἰπεῖν." "κάλλιον δὴ τοῦτ' ἐκείνου, ἔφη ὁ Ἑρμογένης· ἀλλὰ σύ, ὦ Καλλία, ἐπὶ τίνι μάλιστα ἀγάλλῃ;" καὶ ὅς, "ἐπὶ τῷ παχὺς εἶναι· οὐδὲν γὰρ ἄλλο ἔχω." οἱ δὲ ἐγέλων, καί τις καὶ ἠρώτα τὸν Ἑρμογένην, "λέγοις δ' ἂν καὶ σύ, Ἑρμόγενες, ἐπὶ τίνι μέγα φρονεῖς;" ὁ δ' εἶπεν, "ἐπὶ τῷ κάλλει· οὐ γὰρ δὴ τοῖς σειληνοῖς ἔοικα;"

ταῦτα δὴ λεγόντων αὐτῶν ἡ νὺξ ἐχώρει· καὶ μετ' ὀλίγον κατάλυσις ἐγένετο τοῦ συμποσίου, καὶ ἀπῇμεν οἴκαδε.

44

ΚΑΚΟΣ ΓΕΙΤΩΝ

πολλῶν μὲν καὶ καλῶν ἀπολαύομεν, ὧνπερ χάριν τοῖς θεοῖς ἴσμεν πλείστην· ἑνὸς δὲ κακοῦ ἐλάχομεν, κακοῦ γείτονος. καὶ ἔμοιγε δοκεῖ οὐδὲν χαλεπώτερον εἶναι ἢ τυχεῖν γείτονος κακοῦ.

τὸ χωρίον γὰρ τὸ ἐκείνου ἐναντίον ἐστὶ τῷ ἡμετέρῳ, τὸ δὲ μέσον τῶν χωρίων ὁδός ἐστι. περιέχει δὲ τὰ χωρία ὄρος, ὡς καὶ εἶπον ἤδη· ὥστε τὸ ὕδωρ τὸ καταρρέον φέρεται τῇ μὲν εἰς τὴν ὁδόν, τῇ δ' εἰς τὰ χωρία. καὶ δὴ καὶ τοῦτ' εἰσπῖπτον ἐνίοτε εἰς τὴν ὁδόν, ἐὰν μὲν εὐοδῇ, φέρεται κάτω κατὰ τὴν ὁδόν· ἐὰν δ' ἐνστῇ τι, τηνικαῦτα τοῦτ' εἰς τὰ χωρία ὑπεραίρειν ἀναγκαῖον ἤδη. καὶ δὴ καὶ κατὰ τὸ ἡμέτερον χωρίον, γενομένης ἐπομβρίας, συνέβη τὸ ὕδωρ ἐμβαλεῖν· ἀμεληθὲν δὲ δὶς καὶ τρὶς ἐμβαλὸν τὸ

ὕδωρ, τὰ χωρία ἐλυμήνατο. διὸ δὴ ταῦθ' ὁ πατὴρ ὁρῶν, αἱμασίαν περιῳκοδόμησεν.

περιοικοδομηθείσης δὲ τῆς αἱμασίας, φέρεται ἄρα τὸ ὕδωρ εἰς τὴν ὁδὸν καὶ οὐκέτι εἰς τὸ ἡμέτερον χωρίον· ὁ δὲ γείτων οὗτος χαλεπαίνει, λέγων εἰς τὸ ἑαυτοῦ μᾶλλον ἐμβαλεῖν· καὶ δὴ καὶ ἐγκαλεῖ ἡμῖν, ὅτι ἀποικοδομοῦμέν τινα χαράδραν, καθ' ἣν δεῖν φέρεσθαι τὸ ὕδωρ. ποίαν δὴ χαράδραν; ἐν ᾗτινι οὐ μόνον δένδρα ἐστὶ πεφυτευμένα, ἄμπελοι καὶ συκαῖ, ἀλλὰ καὶ ἔνεστι μνήματα παλαιὰ τῶν τεθνηκότων.

ὁ δὲ δικάσεσθαί φησιν ἡμῖν. διὰ τοῦτο δοκεῖ μοι οὐδὲν χαλεπώτερον εἶναι γείτονος κακοῦ, ὥσπερ οὐδὲν χρησιμώτερον καλοῦ. τί γὰρ ποιῶμεν; ἀξιοῖ μὲν οὗτος εἰσδέξασθαί με τὸ ὕδωρ εἰς τὸ χωρίον· τί δέ; εἰσδεξαμένοις εἰς τὸ χωρίον ἀνάγκη ἔσται πάλιν εἰς τὴν ὁδὸν ἐξάγειν, ὅταν τὸ ἐκείνου παραλλάξῃ χωρίον. οὐκοῦν πάλιν ὁ μετὰ ἐκεῖνον γεωργῶν ἐγκαλεῖ, ταὐτὰ λέγων ἅπερ ἐκεῖνος. ἀλλὰ μὴν εἴ γε εἰς τὴν ὁδὸν ὀκνήσαιμεν τὸ ὕδωρ ἐξάγειν, πῶς ἂν ἀφεῖμεν εἰς τὸ κάτω χωρίον; ὅπου δὲ μήτ' εἰς τὴν ὁδὸν μήτ' εἰς τὰ χωρία ἔξεστιν ἡμῖν ἀφεῖναι τὸ ὕδωρ δεξαμένοις, τί λοιπόν, πρὸς θεῶν; οὐ γὰρ ἐκπιεῖν γε δήπου ἡμᾶς ὁ γείτων αὐτὸ προσαναγκάσει.

45

ΚΥΝΗΓΕΤΗΣ

μετὰ χρόνον συχνόν, ἐξ ἐφήβων ἤδη γεγονώς, καὶ εἰς ἄνδρας τελῶν, ἐτύγχανον πλέων ἐν μικρῷ τινι ἀκατίῳ μετά τινων ἁλιέων. ἦν δ' ὁ χρόνος μετοπωρινός, ἐν ᾧ χρόνῳ χειμῶνες φιλοῦσι γενέσθαι. καὶ μὴν γενομένου γε χειμῶνος μεγάλου δή, μόλις ἐσώθημεν πρὸς τὰ κοῖλα τῆς Εὐβοίας. καὶ τὸ μὲν ἀκάτιον διεφθάρη, εἰς τραχύν τινα αἰγιαλὸν ὑπὸ τοῖς κρημνοῖς

ἐκπεσόν, οἱ δ' ἁλιῆς ἐπνίγησαν τῇ θαλάττῃ, ἐσώθην δὲ μόνος ἐγώ. μόνος οὖν καταλειφθείς, καὶ οὐκ ἔχων ὅποι σωθήσομαι, ἐπλανώμην ἄλλως παρὰ τὴν θάλατταν, εἴ πού τινας παραπλέοντας ἢ ὁρμοῦντας ἴδοιμι. καὶ ἄνθρωπον μὲν οὐδένα ἑώρων, ἐπέτυχον δὲ ἐλάφῳ νεωστὶ κατὰ τοῦ κρημνοῦ πεπτωκότι παρ' αὐτὴν τὴν ῥαχίαν, καὶ ἔτι ἐμψύχῳ ὄντι. καὶ μετ' ὀλίγον ἔδοξα ὑλακῆς ἀκοῦσαι κυνῶν ἄνωθεν. προελθὼν δὲ πάνυ χαλεπῶς πρὸς τόπον ὑψηλόν, τούς τε κύνας ὁρῶ ἀποροῦντας καὶ διαθέοντας, καὶ μετ' ὀλίγον ἄνδρα, κυνηγέτην ὡς ἐδόκει τῇ στολῇ. καὶ ὃς ἀνηρώτα μ', "ἀλλ' ἦ, ὦ ξένε, τῇδέ που φεύγοντα ἔλαφον κατενόησας;" κἀγώ, "ἐκεῖνος, ἔφην, ἐν τῷ κλύδωνι ἤδη." καὶ ἀγαγὼν ἔδειξα. ἑλκύσας οὖν αὐτὸν ἐκ τῆς θαλάττης, τό τε δέρμα ἐξέδειρε μαχαίρᾳ, κἀμοῦ συλλαμβάνοντος ὅσον οἷός τ' ἦν, καὶ τῶν σκελῶν ἀποταμὼν τὰ ὀπίσθια ἐκόμιζεν ἅμα τῷ δέρματι. παρεκάλει δὲ συνακολουθεῖν καὶ συνεστιᾶσθαι τῶν κρεῶν· εἶναι δὲ οὐ μακρὰν τὴν οἴκησιν. "ἔπειτα ἕωθεν, ἔφη, ἥξεις ἐπὶ τὴν θάλατταν, ὡς τά γε νῦν οὐκ ἔστι πλώιμα. καὶ βουλοίμην ἂν ἔγωγε καὶ μετὰ πέντε ἡμέρας λῆξαι τὸν ἄνεμον· ἀλλ' οὐ ῥᾴδιον, ὅταν οὕτως πιεσθῇ τὰ ἄκρα τῆς Εὐβοίας ὑπὸ τῶν νεφῶν, ὥς γε νῦν πεπιεσμένα ὁρᾷς." καὶ ἅμα ἠρώτα με ὁπόθεν δὴ καὶ ὅπως ἐκεῖσε κατηνέχθην, καὶ πότερον οὐ διεφθάρη τὸ πλοῖον. πρὸς ταῦτ' ἐγώ, "μικρὸν μὲν ἦν, ἔφην, κἀγὼ μόνος ἐσώθην δεῦρο, τῶν συμπλεόντων ἀποπνιγέντων· καὶ διεφθάρη δὴ τὸ πλοῖον ἐπὶ τὴν γῆν ἐκπεσόν." "οὔκουν ῥᾴδιον, ἔφη, ἄλλως· ὅρα γὰρ ὡς ἄγρια καὶ σκληρὰ τῆς νήσου τὰ πρὸς τὸ πέλαγος. ταῦτ' ἐστὶ τὰ κοῖλα τῆς Εὐβοίας, ὅποι κατενεχθεῖσα ναῦς οὐκ ἂν ἔτι σωθείη· σπανίως δὲ σῴζονται καὶ τῶν ἀνθρώπων τινές, εἰ μὴ ἄρα ἐλαφροὶ παντελῶς πλέοντες, ὥσπερ καὶ σύ. ἀλλ' ἴθι

καὶ μηδὲν δείσῃς. νῦν μὲν ἀναψύξεις σεαυτὸν ἐκ τῶν πόνων· αὔριον δ', ὅ τι ἂν ᾖ δυνατόν, ἐπιμελησόμεθα ὅπως σωθήσῃ, ἐπειδή σ' ἔγνωμεν ἅπαξ. δοκεῖς δέ μοι τῶν ἀγροίκων εἶναί τις, οὐ ναύτης οὐθ' ἁλιεύς."

ἐγὼ δ' ἄσμενος ἠκολούθουν· ἦν δὲ σχεδόν τι περὶ τετταράκοντα στάδια πρὸς τὸ χωρίον. ἐν ᾧ δ' ἐβαδίζομεν, διηγεῖτό μοι κατὰ τὴν ὁδὸν τὰ αὑτοῦ πράγματα, καὶ τὸν βίον, ὡς ἔζη μετὰ τῆς γυναικὸς καὶ παίδων. "ἡμεῖς γάρ, ἔφη, δύο ἐσμέν, ὦ ξένε, τὸν αὐτὸν οἰκοῦντες τόπον. ἔχομεν δὲ γυναῖκας ἀλλήλων ἀδελφάς, καὶ παῖδας ἐξ αὐτῶν, υἱοὺς καὶ θυγατέρας. ζῶμεν δ' ἀπὸ θήρας ὡς τὸ πολύ, μικρόν τι τῆς γῆς ἐπεργαζόμενοι. τὸ γὰρ χωρίον οὔκ ἐστιν ἡμέτερον, οὔτε πατρῷον, οὔθ' ἡμεῖς ἐκτησάμεθα· ἀλλ' ἦσαν οἱ πατέρες ἡμῶν ἐλεύθεροι μέν, πένητες δ' οὐχ ἧττον ἡμῶν, βουκόλοι, βοῦς νέμοντες ἀνδρός τινος πλουσίου· οὗτος δὲ τῶν ἐκ τῆς νήσου ἦν τις, πολλὰς μὲν ἀγέλας καὶ ἵππων καὶ βοῶν κεκτημένος, πολλὰς δὲ ποίμνας, πολλοὺς δὲ καὶ καλοὺς ἀγρούς, πολλὰ δ' ἄλλα χρήματα, σύμπαντα δὲ ταῦτα τὰ ὄρη. τούτου δὴ ἀποθανόντος καὶ τῆς οὐσίας δημευθείσης, κατ' αἰτίαν τιν' οὐκ οἶδ' ὁποίαν, τὴν μὲν ἀγέλην εὐθὺς ἀπήλασαν, πρὸς δὲ τῇ ἀγέλῃ καὶ τὰ ἡμέτερα ἄττα βοΐδια, καὶ τὸν μισθὸν οὐδεὶς ἀπέδωκε. τότε μὲν δὴ ἐξ ἀνάγκης αὐτοῦ κατεμείναμεν, οὗπερ ἐτύχομεν τὰς βοῦς ἔχοντες καί τινας σκηνὰς πεποιημένοι, καὶ αὐλὴν μόσχων ἕνεκα, πρὸς αὐτό που τὸ θέρος· τοῦ μὲν γὰρ χειμῶνος ἐν τοῖς πεδίοις ἐνέμομεν, νομὴν ἱκανὴν ἔχοντες καὶ πολὺν χιλὸν ἀποκείμενον, τοῦ δὲ θέρους ἀπηλαύνομεν εἰς τὰ ὄρη. μάλιστα δ' ἐν τούτῳ τῷ τόπῳ σταθμὸν ᾠκοδόμησαν· φάραγξ γάρ ἐστι βαθεῖα καὶ σύσκιος, καὶ διὰ μέσου ποταμὸς οὐ τραχύς, ἀλλ' εὖ διαβατὸς καὶ βουσὶ καὶ μόσχοις, τὸ δὲ ὕδωρ πολὺ καὶ καθαρόν, καὶ πνεῦμα τοῦ θέρους ἀεὶ

διαπνέον διὰ τῆς φάραγγος· οἱ δὲ περικείμενοι δρυμοὶ ἥκιστα μὲν οἶστρον τρέφουσιν, ἥκιστα δὲ ἄλλην τινὰ βλάβην βουσί. πολλοὶ δέ εἰσι καὶ πάγκαλοι λειμῶνες, καὶ πάντα μεστὰ βοτάνης δι' ὅλου τοῦ θέρους. ὧν δὴ ἕνεκα ἐκεῖ καθίστασαν τὴν ἀγέλην. καὶ τότε οὖν ἔμειναν ἐν ταῖς σκηναῖς, μέχρι ἂν εὕρωσι μισθόν τινα ἢ ἔργον, καὶ ἐτρέφοντο ἀπὸ χωρίου μικροῦ ὃ ἔτυχον εἰργασμένοι πλησίον τοῦ σταθμοῦ. καὶ σχολὴν ἄγοντες ἀπὸ τῶν βοῶν, πρὸς θήραν ἐτράπησαν μετὰ τῶν κυνῶν. χειμῶνος δὲ ἐπελθόντος ἔργον μὲν οὐδὲν ἦν ἕτοιμον αὐτοῖς, οὔτε εἰς ἄστυ καταβᾶσιν οὔτε εἰς κώμην τινά· φραξάμενοι δὲ τὰς σκηνὰς ἐπιμελέστερον καὶ τὴν αὐλήν, οὕτως διετέλουν, καὶ τὸ χωρίον ἐκεῖνο πᾶν ἠργάσαντο, καὶ χειμῶνος ἡ θήρα ῥᾴων ἐγίγνετο. τὰ γὰρ ἴχνη φανερώτερα, ὡς ἐν ὑγρᾷ τῇ γῇ σημαινόμενα· ἡ δὲ χιὼν καὶ πάνυ φανερὰ παρέχει, καὶ τὰ θηρία μᾶλλόν τι ὑπομένει· ἔστι δ' ἔτι καὶ λαγὼς καὶ δορκάδας ἐν ταῖς εὐναῖς καταλαμβάνειν. οὕτως δὴ τὸ ἀπ' ἐκείνου διέμειναν. καὶ ἡμῖν συνέζευξαν γυναῖκας τοῖς ἀλλήλων υἱέσιν ἑκάτερος τὴν αὑτοῦ θυγατέρα. τεθνήκασι δὲ ἀμφότεροι πέρυσι σχεδόν, τὰ μὲν ἔτη πολλὰ λέγοντες ἃ ἐβεβιώκεσαν, ἰσχυροὶ δὲ ἔτι καὶ γενναῖοι τὰ σώματα. τῶν δὲ μητέρων ἡ ἐμὴ περίεστιν.

"ὁ μὲν οὖν ἕτερος ἡμῶν οὐδεπώποτε εἰς πόλιν κατέβη, καίπερ πεντήκοντα ἔτη γεγονώς· ἐγὼ δὲ δὶς μόνον, ἅπαξ μὲν ἔτι παῖς ὢν μετὰ τοῦ πατρός, ὁπηνίκα τὴν ἀγέλην εἴχομεν. ὕστερον δὲ ἧκέ τις ἀργύριον αἰτῶν, καὶ κελεύων ἀκολουθεῖν εἰς τὴν πόλιν. ἡμῖν δὲ ἀργύριον μὲν οὐκ ἦν, ἀλλ' ἀπωμοσάμην μὴ ἔχειν. ἐξενίσαμεν δὲ αὐτὸν ὡς ἠδυνάμεθα κάλλιστα, καὶ δύο ἐλάφεια δέρματα ἐδώκαμεν· κἀγὼ ἠκολούθησα εἰς τὴν πόλιν. ἔφη γὰρ ἀνάγκην εἶναι τὸν ἕτερον ἐλθεῖν καὶ διδάξαι περὶ τούτων.

"εἶδον οὖν, ὡς καὶ πρότερον, οἰκίας πολλὰς καὶ μεγάλας, καὶ τεῖχος ἔξωθεν καρτερόν, καὶ οἰκήματά τινα ὑψηλὰ καὶ τετράγωνα ἐν τῷ τείχει, καὶ πλοῖα πολλὰ ὁρμοῦντα ὥσπερ ἐν λίμνῃ κατὰ πολλὴν ἡσυχίαν. τοῦτο δὲ ἐνθάδε οὐκ ἔστιν οὐδαμοῦ, ὅπου κατηνέχθης· καὶ διὰ τοῦτο αἱ νῆες ἀπόλλυνται. ταῦτα οὖν ἑώρων, καὶ πολὺν ὄχλον ἐν ταὐτῷ συνειργμένον, καὶ θόρυβον ἀμήχανον καὶ κραυγήν· ὥστε ἐμοὶ ἐδόκουν πάντες μάχεσθαι ἀλλήλοις. ἄγει οὖν με πρός τινας ἄρχοντας. καὶ εἶπε γελῶν 'οὗτός ἐστιν ἐφ' ὅν με ἐπέμψατε· ἔχει δὲ οὐδέν, εἰ μή γε τὴν κόμην, καὶ σκηνὴν μάλα ἰσχυρῶν ξύλων.' οἱ δὲ ἄρχοντες εἰς τὸ θέατρον ἐβάδιζον, κἀγὼ μετ' αὐτῶν. τὸ δὲ θέατρόν ἐστιν ὥσπερ φάραγξ κοῖλον, πλὴν οὐ μακρὸν ἑκατέρωθεν, ἀλλὰ στρογγύλον ἐξ ἡμίσεος, οὐκ αὐτόματον, ἀλλ' ᾠκοδομημένον λίθοις. ἴσως δέ μου καταγελᾷς, ὅτι σοι διηγοῦμαι σαφῶς εἰδότι ταῦτα. πρῶτον μὲν οὖν πολύν τινα χρόνον ἄλλα τινὰ ἔπραττεν ὁ ὄχλος, καὶ ἐβόων, ποτὲ μὲν πρᾴως καὶ ἱλαροὶ πάντες, ἐπαινοῦντές τινας, ποτὲ δὲ σφόδρα καὶ ὀργίλως. ἄλλοι δέ τινες ἄνθρωποι παριόντες, οἱ δ' ἐκ μέσων ἀναστάντες, διελέγοντο πρὸς τὸ πλῆθος, οἱ μὲν ὀλίγα, οἱ δὲ πολλά. καὶ τῶν μὲν ἤκουον οἱ ἐν τῷ θεάτρῳ πολύν τινα χρόνον, τοῖς δὲ ἐχαλέπαινον εὐθὺς φθεγξαμένοις καὶ οὐδὲ γρύζειν ἐπέτρεπον. ἐπεὶ δέ ποτε ἡσυχία ἐγένετο, παρήγαγον κἀμέ. καὶ εἶπέ τις· 'οὗτός ἐστιν, ὦ ἄνδρες, τῶν καρπουμένων τὴν δημοσίαν γῆν πολλὰ ἔτη, οὐ μόνον αὐτός, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον· καὶ κατανέμουσι τὰ ἡμέτερα ὄρη καὶ γεωργοῦσι καὶ θηρεύουσι, καὶ οἰκίας ἐνῳκοδομήκασι, καὶ ἀμπέλους ἐμπεφυτεύκασι πολλάς, καὶ ἄλλα πολλὰ ἔχουσιν ἀγαθά, οὔτε τιμὴν καταβαλόντες οὐδενὶ τῆς γῆς, οὔτε δωρεὰν παρὰ τοῦ δήμου λαβόντες. ὑπὲρ τίνος γὰρ ἂν καὶ ἔλαβον; ἔχοντες δὲ τὰ ἡμέτερα

καὶ πλουτοῦντες, οὔτε λητουργίαν πώποτε ἐλητούργησαν οὐδεμίαν, οὔτε μοῖράν τινα ὑποτελοῦσι τῶν γιγνομένων, ἀλλ' ἀλητούργητοι διατελοῦσιν, ὥσπερ εὐεργέται τῆς πόλεως. οἶμαι δέ, ἔφη, μηδὲ ἐληλυθέναι πώποτε αὐτοὺς δεῦρο.' κἀγὼ ἀνένευσα. ὁ δὲ ὄχλος ἐγέλασεν, ὡς εἶδε. καὶ ὁ λέγων ἐκεῖνος ὠργίσθη ἐπὶ τῷ γέλωτι καί μοι ἐλοιδορεῖτο. ἔπειτα ἐπιστρέψας, 'εἰ οὖν, ἔφη, δοκεῖ ταῦτα οὕτως, οὐκ ἂν φθάνοιμεν ἅπαντες τὰ κοινὰ διαρπάσαντες, οἱ μὲν τὰ χρήματα τῆς πόλεως, ὥσπερ καὶ νῦν ποιοῦσί τινες, οἱ δὲ τὴν χώραν κατανειμάμενοι οὐ πείσαντες ὑμᾶς, ἐὰν ἐπιτρέψητε τοῖς θηρίοις τούτοις προῖκα ἔχειν πλέον ἢ χίλια πλέθρα γῆς τῆς ἀρίστης, ὅθεν ὑμῖν ἐστι τρεῖς χοίνικας Ἀττικὰς σίτου λαμβάνειν κατ' ἄνδρα.' ἐγὼ δὲ ἀκούσας ἐγέλασα ὅσον ἐδυνάμην μέγιστον. τὸ δὲ πλῆθος οὐκέτ' ἐγέλων, ὥσπερ πρότερον, ἀλλ' ἐθορύβουν. ὁ δὲ ἄνθρωπος ἐχαλέπαινε, καὶ δεινὸν ἐμβλέψας εἰς ἐμὲ εἶπεν· 'ὁρᾶτε τὴν εἰρωνείαν καὶ τὴν ὕβριν τοῦ καθάρματος, ὡς καταγελᾷ πάνυ θρασέως; ὃν ἀπάγειν ὀλίγου δέω καὶ τὸν κοινωνὸν αὐτοῦ. οἶμαι γὰρ αὐτοὺς μηδὲ τῶν ναυαγίων ἀπέχεσθαι τῶν ἑκάστοτε ἐκπιπτόντων. πόθεν γὰρ οὕτως πολυτελεῖς ἀγρούς, μᾶλλον δὲ ὅλας κώμας κατεσκευάσαντο, καὶ τοσοῦτον πλῆθος βοσκημάτων καὶ ζεύγη καὶ ἀνδράποδα; καὶ ὑμεῖς δὲ ἴσως ὁρᾶτε αὐτοῦ τὴν ἐξωμίδα ὡς φαύλη, καὶ τὸ δέρμα, ὃ ἐλήλυθε δεῦρο φορῶν, ἵνα ὑμᾶς ἀπατᾷ, ὡς πτωχός, δῆλον ὅτι, καὶ οὐδὲν ἔχων. ἐγὼ μὲν γάρ, ἔφη, βλέπων αὐτὸν σχεδὸν δέδοικα. καὶ γὰρ οἶμαι πυρσεύειν αὐτὸν ἀπὸ τῶν ἄκρων τοῖς πλέουσιν, ὅπως ἐκπίπτωσιν εἰς τὰς πέτρας.' ταῦτα δὲ ἐκείνου λέγοντος καὶ πολλὰ πρὸς τούτοις, ὁ μὲν ὄχλος ἠγριοῦτο· ἐγὼ δὲ ἠπόρουν καὶ ἐδεδοίκη μή τί με ποιῶσι κακόν.

"παρελθὼν δὲ ἄλλος τις, ὡς ἐφαίνετο, ἐπιεικὴς

ἄνθρωπος, πρῶτον μὲν ἠξίου σιωπῆσαι τὸ πλῆθος· καὶ ἐσιώπησαν· ἔπειτα εἶπεν ἡσύχῃ τῇ φωνῇ, ὅτι οὐδὲν ἀδικοῦσιν οἱ τὴν ἀργὸν τῆς χώρας ἐργαζόμενοι καὶ κατασκευάζοντες, ἀλλὰ τοὐναντίον ἐπαίνου δικαίως ἂν τυγχάνοιεν· καὶ δεῖν μὴ τοῖς οἰκοδομοῦσι καὶ φυτεύουσι τὴν δημοσίαν γῆν χαλεπῶς ἔχειν, ἀλλὰ τοῖς καταφθείρουσιν. 'ἐπεὶ καὶ νῦν, ἔφη, ὦ ἄνδρες, σχεδόν τι τὰ δύο μέρη τῆς χώρας ἡμῶν ἔρημά ἐστι, δι' ἀμέλειάν τε καὶ ὀλιγανθρωπίαν. κἀγὼ πολλὰ κέκτημαι πλέθρα, ὥσπερ οἶμαι καὶ ἄλλος τις, οὐ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλὰ καὶ ἐν τοῖς πεδινοῖς, ἃ εἴ τις ἐθέλοι γεωργεῖν, οὐ μόνον ἂν προῖκα δοίην, ἀλλὰ καὶ ἀργύριον ἡδέως προστελέσαιμι. δῆλον γὰρ ὡς ἐμοὶ πλέονος ἀξία γίγνεται, καὶ ἅμα ἡδὺ ὅραμα χώρα οἰκουμένη καὶ ἐνεργός· ἡ δ' ἔρημος οὐ μόνον ἀνωφελὲς κτῆμα τοῖς ἔχουσιν, ἀλλὰ καὶ σφόδρα ἐλεεινόν τι ὁρᾶν. οὐκοῦν ἄξιον, ἔφη, θαυμάσαι τῶν ῥητόρων, ὅτι τοὺς μὲν ἐπὶ τῷ Καφηρεῖ ἐργαζομένους ἐν τοῖς ἐσχάτοις τῆς Εὐβοίας συκοφαντοῦσι, τοὺς δὲ τὸ γυμνάσιον γεωργοῦντας καὶ τὴν ἀγορὰν κατανέμοντας οὐδὲν οἴονται ποιεῖν δεινόν; βλέπετε γὰρ αὐτοὶ δήπου ὅτι τὸ γυμνάσιον ὑμῖν ἄρουραν πεποιήκασιν, ὥστε τὸν Ἡρακλέα καὶ ἄλλους ἀνδριάντας συχνοὺς ὑπὸ τοῦ θέρους ἀποκεκρύφθαι, τοὺς μὲν ἡρώων, τοὺς δὲ θεῶν· καὶ ὅτι καθ' ἡμέραν τὰ τοῦ ῥήτορος τούτου πρόβατα ἕωθεν εἰς τὴν ἀγορὰν ἐμβάλλει, καὶ κατανέμεται τὰ περὶ τὸ βουλευτήριον καὶ τὰ ἀρχεῖα· ὥστε τοὺς πρότερον ἐπιδημήσαντας ξένους τοὺς μὲν καταγελᾶν τῆς πόλεως, τοὺς δὲ οἰκτίρειν αὐτήν.' πάλιν οὖν ταῦτα ἀκούσαντες ὠργίζοντο πρὸς ἐκεῖνον καὶ ἐθορύβουν. 'καὶ τοιαῦτα ποιῶν τοὺς ἰδιώτας οἴεται δεῖν ἀπαγαγεῖν, ἵνα μηδεὶς δὴ ἐργάζηται τὸ λοιπόν, ἀλλ' οἱ μὲν ἔξω λῃστεύωσιν, οἱ δ' ἐν τῇ πόλει λωποδυτῶσιν. ἐμοὶ δέ, ἔφη, δοκεῖ τούτους ἐὰν

ἐφ' οἷς αὐτοὶ πεποιήκασιν, ὑποτελοῦντας τὸ λοιπὸν ὅσον μέτριον· περὶ δὲ τῶν ἔμπροσθεν προσόδων συγγνῶναι αὐτοῖς, ὅτι ἔρημον καὶ ἀχρεῖον οὖσαν γεωργοῦσι τὴν γῆν. ἐὰν δὲ τιμὴν ἐθέλωσι καταβαλεῖν τοῦ χωρίου, ἀποδόσθαι αὐτοῖς ἐλάττονος ἢ ἄλλοις.' εἰπόντος δὲ αὐτοῦ τοιαῦτα, πάλιν ὁ ἐξ ἀρχῆς ἐκεῖνος ἀντέλεγεν, καὶ ἐλοιδοροῦντο ἐπὶ πολύ. τέλος δὲ καὶ ἐμὲ ἐκέλευον εἰπεῖν ὅ τι βούλομαι.

"'καὶ τί με, ἔφην, δεῖ λέγειν;' 'πρὸς τὰ εἰρημένα,' εἶπέ τις τῶν καθημένων. 'οὐκοῦν λέγω, ἔφην, ὅτι οὐδὲν ἀληθές ἐστιν ὧν εἴρηκεν. ἐγὼ μέν, ὦ ἄνδρες, ἐνύπνια ᾤμην, ἔφην, ὁρᾶν, ἀγροὺς καὶ κώμας καὶ τοιαῦτα φλυαροῦντος. ἡμεῖς δὲ οὔτε κώμην ἔχομεν οὔτε ἵππους οὔτε ὄνους οὔτε βοῦς. εἴθε γὰρ εἴχομεν ἡμεῖς ὅσα οὗτος ἔλεγεν ἀγαθά, ἵνα καὶ ὑμῖν μετέδομεν καὶ αὐτοὶ τῶν μακαρίων ἦμεν. καὶ μὴν τὰ νῦν γ' ὄντα ἡμῖν ἱκανά ἐστιν, ἐξ ὧν εἴ τι βούλεσθε, λάβετε· κἂν πάντα ἐθέλητε, ἡμεῖς ἕτερα κτησόμεθα.' ἐπὶ τούτῳ δὲ τῷ λόγῳ ἐπῄνεσαν. εἶτα ἐπηρώτα με ὁ ἄρχων, τί δυνησόμεθα δοῦναι τῷ δήμῳ; κἀγώ 'τέτταρα, ἔφην, ἐλάφεια δέρματα πάνυ καλά.' οἱ δὲ πολλοὶ αὐτῶν ἐγέλασαν. ὁ δὲ ἄρχων ἠγανάκτησε πρός με. 'τὰ γὰρ ἄρκτεια, ἔφην, σκληρά ἐστιν, καὶ τὰ τράγεια οὐκ ἄξια τούτων, ἀλλὰ τὰ μὲν παλαιά, τὰ δὲ μικρὰ αὐτῶν· εἰ δὲ βούλεσθε, κἀκεῖνα λάβετε.' πάλιν οὖν ἠγανάκτει, καὶ ἔφη με ἄγροικον εἶναι παντελῶς. κἀγώ 'πάλιν, εἶπον, αὖ καὶ σὺ ἀγροὺς λέγεις; οὐκ ἀκούεις ὅτι ἀγροὺς οὐκ ἔχομεν;' ὁ δὲ ἠρώτα με πότερον τάλαντον ἑκάτερος Ἀττικὸν δοῦναι ἐθέλοιμεν. ἐγὼ δὲ εἶπον 'οὐχ ἵσταμεν τὰ κρέα ἡμεῖς· ἃ δ' ἂν ᾖ, δίδομεν. ἔστι δὲ ὀλίγα ἐν ἁλσί, τἆλλα δ' ἐν τῷ καπνῷ ξηρά, οὐ πολὺ ἐκείνων χείρω, σκελίδες ὑῶν καὶ ἐλάφειοι καὶ ἄλλα γενναῖα κρέα.' ἐνταῦθα δὴ ἐθορύβουν καὶ ψεύδεσθαί με ἔφασαν. ὁ

δὲ ἠρώτα με πότερον σῖτον ἔχομεν καὶ πόσον. εἶπον τὸν ὄντα ἀληθῶς· ‘δύο, ἔφην, μεδίμνους πυρῶν καὶ τέτταρας κριθῶν καὶ τοσούτους κέγχρων, κυάμων δὲ ἡμίεκτον· οὐ γὰρ ἐγένοντο τῆτες. τοὺς μὲν οὖν πυροὺς καὶ τὰς κριθάς, ἔφην, ὑμεῖς λάβετε, τοὺς δὲ κέγχρους ἡμῖν ἄφετε. εἰ δὲ κέγχρων δεῖσθε, καὶ τούτους λάβετε.’ ‘οὐδὲ οἶνον ποιεῖτε;’ ἄλλος τις ἠρώτησεν. ‘ποιοῦμεν, εἶπον. ἂν οὖν τις ὑμῶν ἀφίκηται, δώσομεν· ὅμως δὲ ἐλθέτω φέρων ἀσκόν τινα· ἡμεῖς γὰρ οὐκ ἔχομεν.’ ‘πόσαι δή τινές εἰσιν ὑμῖν ἄμπελοι;’ ‘δύο μέν, ἔφην, αἱ πρὸ τῶν θυρῶν, ἔσω δὲ τῆς αὐλῆς εἴκοσι· καὶ τοῦ ποταμοῦ πέραν ἃς ἔναγχος ἐφυτεύσαμεν, ἕτεραι τοσαῦται· εἰσὶ δὲ γενναῖαι σφόδρα καὶ τοὺς βότρυς φέρουσι μεγάλους. ἵνα δὲ μὴ πράγματα ἔχητε καθ' ἕκαστον ἐρωτῶντες, ἐρῶ καὶ τἆλλα ἅπερ ἐστὶν ἡμῖν· αἶγες ὀκτὼ θήλειαι, βοῦς κολοβή, μοσχάριον ἐξ αὐτῆς πάνυ καλόν, δρέπανα τέτταρα, δίκελλαι τέτταρες, λόγχαι τρεῖς, μάχαιραν ἡμῶν ἑκάτερος κέκτηται πρὸς τὰ θηρία. τὰ δὲ κεραμεᾶ σκεύη τί ἂν λέγοι τις; καὶ γυναῖκες ἡμῖν εἰσι καὶ τούτων τέκνα. οἰκοῦμεν δὲ ἐν δυοῖν σκηναῖς καλαῖς· καὶ τρίτην ἔχομεν, οὗ κεῖται τὸ σιτάριον καὶ τὰ δέρματα.’ ‘νὴ Δία, ἦ δ' ὃς ὁ ῥήτωρ, ὅπου καὶ τὸ ἀργύριον ἴσως κατορύττετε.’ ‘οὐκοῦν, ἔφην, ἀνάσκαψον ἐλθών, ὦ μῶρε. τίς δὲ κατορύττει ἀργύριον; οὐ γὰρ δὴ φύεταί γε.’ ἐνταῦθα πάντες ἐγέλων, ἐκείνου δήπου καταγελάσαντες. ‘ταῦτά ἐστιν ἡμῖν· εἰ οὖν καὶ πάντα ἐθέλετε, ἡμεῖς ἑκόντες ὑμῖν χαριζόμεθα, καὶ οὐδὲν ὑμᾶς ἀφαιρεῖσθαι δεῖ πρὸς βίαν ὥσπερ ἀλλοτρίων ἢ πονηρῶν· ἐπεί τοι καὶ πολῖται τῆς πόλεώς ἐσμεν, ὡς ἐγὼ τοῦ πατρὸς ἤκουον. οὐκοῦν καὶ τρέφομεν ὑμετέρους πολίτας τοὺς παῖδας. κἄν ποτε δέησθε, βοηθήσουσιν ὑμῖν πρὸς λῃστὰς ἢ πρὸς πολεμίους. εἰ δὲ οὐκ ἐνθάδε ζῶμεν τοσούτων ἀνθρώπων ἐν ταὐτῷ διαγόντων, οὐ δήπου διά γε τοῦτο

μισεῖσθαι ἄξιοί ἐσμεν. ὃ δὲ ἐτόλμησεν εἰπεῖν περὶ τῶν ναυαγίων, πρᾶγμα οὕτως ἀνόσιον καὶ πονηρόν (τοῦτο γὰρ σχεδὸν ἐξελαθόμην εἰπεῖν, ὃ πάντων πρῶτον ἔδει με εἰρηκέναι)· τίς ἂν πιστεύσειέ ποτε ὑμῶν; πρὸς γὰρ τῇ ἀσεβείᾳ, καὶ ἀδύνατόν ἐστιν ἐκεῖθεν καὶ ὁτιοῦν λαβεῖν· οὕτω πάνυ σμικρὰ ἐκπίπτει. καὶ τοὺς λάρκους, οὓς ἅπαξ εὗρόν ποτε ἐκβεβρασμένους, καὶ τούτους ἀνέπηξα εἰς τὴν δρῦν τὴν ἱερὰν τὴν πλησίον τῆς θαλάττης. μὴ γὰρ εἴη ποτέ, ὦ Ζεῦ, λαβεῖν μηδὲ κερδᾶναι κέρδος τοιοῦτον ἀπὸ ἀνθρώπων δυστυχίας. ἀλλὰ ὠφελήθην μὲν οὐδὲν πώποτε, ἠλέησα δὲ πολλάκις ναυαγοὺς ἀφικομένους, καὶ τῇ σκηνῇ ὑπεδεξάμην, καὶ φαγεῖν ἔδωκα καὶ πιεῖν, καὶ εἴ τι ἄλλο ἐδυνάμην ἐπεβοήθησα. ἀλλὰ τίς ἂν ἐκείνων ἐμοὶ νῦν μαρτυρήσειεν; οὐδὲ γὰρ τοῦτο ἐποίουν μαρτυρίας ἕνεκα ἢ χάριτος, οὕς γε οὐδ' ὁπόθεν ἦσαν ἠπιστάμην. μὴ γὰρ ὑμῶν γε μηδεὶς πάθοι τοιαῦτα.'

"ταῦτα δὲ ἐμοῦ λέγοντος ἀνίσταταί τις ἐκ μέσων· κἀγὼ πρὸς ἐμαυτὸν ἐνεθυμήθην ὅτι 'ἄλλος τοιοῦτος ἴσως, ἐμοῦ καταψευσόμενος.' ὃ δὲ εἶπεν 'ἄνδρες, ἐγὼ πάλαι τοῦτον ἀμφιγνοῶν, ἠπίστουν ὅμως. ἐπεὶ δὲ σαφῶς αὐτὸν ἔγνωκα, δεινόν μοι δοκεῖ, μᾶλλον δὲ ἀσεβές, μὴ εἰπεῖν ἃ σύνοιδα αὐτῷ, μηδ' ἀποδοῦναι λόγῳ χάριν, ἔργῳ τὰ μέγιστα εὖ παθών. εἰμὶ δέ, ἔφη, πολίτης, ὡς ἴστε, καὶ ὅδε, δείξας τὸν παρακαθήμενον (καὶ ὃς ἐπανέστη)· ἐτύχομεν δὲ πλέοντες ἐν τῇ Σωκλέους νηί, τρίτον ἔτος. καὶ διαφθαρείσης τῆς νεὼς περὶ τὸν Καφηρέα, πάνυ ὀλίγοι τινὲς ἐσώθημεν ἀπὸ πολλῶν. τοὺς μὲν οὖν πορφυρεῖς ἀνέλαβον· εἶχον γὰρ αὐτῶν τινες ἀργύριον ἐν φασκώλοις. ἡμεῖς δὲ γυμνοὶ ἐκπεσόντες δι' ἀτραποῦ τινος ἐβαδίζομεν, ἐλπίζοντες εὑρήσειν σκέπην τινὰ ποιμένων ἢ βουκόλων, καὶ ἐκινδυνεύομεν ὑπὸ λιμοῦ τε καὶ δίψους διαφθαρῆναι. καὶ μόλις ποτὲ ἤλθομεν ἐπὶ σκηνάς τινας, καὶ στάντες

ἐβοῶμεν. προελθὼν δὲ οὗτος, εἰσάγει τε ἡμᾶς ἔνδον καὶ ἀνέκαιε πῦρ· καὶ τὸν μὲν ἡμῶν αὐτὸς ἀνέτριβε, τὸν δὲ ἡ γυνή, στέατι· οὐ γὰρ ἦν αὐτοῖς ἔλαιον· τέλος δὲ ὕδωρ κατέχεον θερμόν, ἕως ἀνέλαβον ψυχροὺς ὄντας. ἔπειτα κατακλίναντες, καὶ περιβαλόντες οἷς εἶχον, παρέθηκαν φαγεῖν ἡμῖν ἄρτους πυρίνους, αὐτοὶ δὲ κέγχρον ἑφθὸν ἤσθιον. ἔδοσαν δὲ καὶ οἶνον ἡμῖν πιεῖν, ὕδωρ αὐτοὶ πίνοντες, καὶ κρέα ἐλάφεια ὀπτῶντες ἄφθονα, τὰ δὲ ἕψοντες· τῇ δ' ὑστεραίᾳ βουλομένους ἀπιέναι κατέσχον ἐπὶ τρεῖς ἡμέρας. ἔπειτα προὔπεμψαν εἰς τὸ πεδίον, καὶ ἀπιοῦσι κρέας ἔδοσαν καὶ δέρμα ἑκατέρῳ πάνυ καλόν. ἐμὲ δὲ ὁρῶν ἔτι πονοῦντα τῷ πάθει, ἐνέδυσε χιτώνιον, τῆς θυγατρὸς ἀφελόμενος· ἐκείνη δὲ ἄλλο τι ῥάκος περιεζώσατο. τοῦτο, ἐπειδὴ ἐν τῇ κώμῃ ἐγενόμην, ἀπέδωκα. οὕτως ἡμεῖς γε ὑπὸ τούτου μάλιστα ἐσώθημεν μετὰ τοὺς θεούς.'

"ταῦτα δὲ ἐκείνου λέγοντος ὁ μὲν δῆμος ἤκουεν ἡδέως καὶ ἐπῄνουν με, ἐγὼ δὲ ἀναμνησθείς, 'χαῖρε, ἔφην, Σωτάδη·' καὶ προσελθὼν ἐφίλουν αὐτὸν καὶ τὸν ἕτερον.

"παρελθὼν δὲ ἐκεῖνος ὁ ἐπιεικὴς ὁ τὴν ἀρχὴν ὑπὲρ ἐμοῦ λέγων, 'ἐμοί, ἔφη, ὦ ἄνδρες, δοκεῖ καλέσαι τοῦτον εἰς τὸ πρυτανεῖον ἐπὶ ξένια. εἰ μὲν γὰρ ἐν πολέμῳ τινὰ ἔσωσε τῶν πολιτῶν ὑπερασπίσας, πολλῶν ἂν καὶ μεγάλων δωρεῶν ἔτυχε· νυνὶ δὲ δύο σώσας πολίτας, ἴσως δὲ καὶ ἄλλους, πῶς οὐκ ἔστιν ἄξιος τιμῆς; δοκεῖ δέ μοι ἀντὶ τοῦ χιτῶνος, ὃν ἔδωκε, τῷ πολίτῃ κινδυνεύοντι, τὴν θυγατέρα ἀποδύσας ἐπιδοῦναι αὐτῷ τὴν πόλιν χιτῶνα καὶ ἱμάτιον, ψηφίσασθαι δὲ αὐτοῖς καρποῦσθαι τὸ χωρίον καὶ αὐτοὺς καὶ τὰ τέκνα, καὶ μηδένα αὐτοῖς ἐνοχλεῖν, δοῦναι δὲ αὐτῷ καὶ ἑκατὸν δραχμὰς εἰς κατασκευήν· τὸ δὲ ἀργύριον τοῦτο ὑπὲρ τῆς πόλεως ἐγὼ παρ' ἐμαυτοῦ δίδωμι.' ἐπὶ τούτῳ δὲ ἐπῃνέθη, καὶ τἆλλα

ἐγένετο ὡς εἶπεν, καὶ ἐκομίσθη παραχρῆμα εἰς τὸ θέατρον τὰ ἱμάτια καὶ τὸ ἀργύριον. ἐγὼ δὲ οὐκ ἐβουλόμην λαβεῖν, οἱ δ' εἶπον ὅτι 'οὐ δύνασαι δειπνεῖν ἐν τῷ δέρματι.' 'οὐκοῦν, εἶπον, τὸ τήμερον ἄδειπνος μενῶ.' ὅμως δὲ ἐνέδυσάν με τὸν χιτῶνα καὶ περιέβαλον τὸ ἱμάτιον. ἐγὼ δὲ ἄνωθεν βαλεῖν ἐβουλόμην τὸ δέρμα, οἱ δὲ οὐκ εἴων. τὸ δὲ ἀργύριον οὐκ ἐδεξάμην οὐδένα τρόπον, ἀλλ' ἀπωμοσάμην. 'τοῦτο δ', ἔφην, τῷ ῥήτορι δότε, ὅπως κατορύξῃ αὐτό· ἐπίσταται γάρ, δῆλον ὅτι.' ἀπ' ἐκείνου δὲ ἡμᾶς οὐδεὶς ἠνώχλησε."

σχεδὸν οὖν εἰρηκότος αὐτοῦ πρὸς ταῖς σκηναῖς ἦμεν. κἀγὼ γελάσας εἶπον "ἀλλ' ἕν τι ἀπεκρύψω τοὺς πολίτας, τὸ κάλλιστον τῶν κτημάτων." "τί τοῦτο;" εἶπεν. "τὸν κῆπον, ἔφην, τοῦτον, πάνυ καλὸν καὶ λάχανα πολλὰ καὶ δένδρα ἔχοντα." "οὐκ ἦν, ἔφη, τότε, ἀλλ' ὕστερον ἐποιήσαμεν."

εἰσελθόντος οὖν εὐωχούμεθα τὸ λοιπὸν τῆς ἡμέρας, ἡμεῖς μὲν κατακλιθέντες ἐπὶ φύλλων τε καὶ δερμάτων ἐπὶ στιβάδος ὑψηλῆς, ἡ δὲ γυνὴ πλησίον παρὰ τὸν ἄνδρα καθημένη. θυγάτηρ δὲ ὡραία γάμου ἐδιακόνει, καὶ ἐνέχει πιεῖν μέλανα οἶνον ἡδύν. οἱ δὲ παῖδες τὰ κρέα παρεσκεύαζον, καὶ αὐτοὶ ἅμα ἐδείπνουν παρατιθέντες.

ἤδη δ' ἱκανῶς ἡμῶν ἐχόντων, ἦλθε κἀκεῖνος ὁ ἕτερος. συνηκολούθει δὲ υἱὸς αὐτῷ, μειράκιον οὐκ ἀγεννές, λαγὼν φέρων. εἰσελθὼν δὲ οὗτος ἠρυθρίασεν· ἐν ᾧ δ' ὁ πατὴρ αὐτοῦ ἠσπάζετο ἡμᾶς, αὐτὸς ἐφίλησε τὴν κόρην καὶ τὸν λαγὼν ἐκείνῃ ἔδωκεν. ἡ μὲν οὖν παῖς ἐπαύσατο διακονοῦσα, καὶ παρὰ τῇ μητρὶ ἐκαθέζετο, τὸ δὲ μειράκιον ἀντ' ἐκείνης ἐδιακόνει. κἀγὼ τὸν ξένον ἠρώτησα "ἆρ' αὕτη ἐστίν, ἧς τὸν χιτῶνα ἀποδύσας τῷ ναυαγῷ ἔδωκας;" καὶ ὃς γελάσας, "οὔκ, ἔφη, ἀλλ' ἐκείνη πάλαι πρὸς ἄνδρα

ἐδόθη, καὶ τέκνα ἔχει μεγάλα ἤδη, πρὸς ἄνδρα πλούσιον εἰς κώμην." "οὐκοῦν, ἔφην, ἐπαρκοῦσιν ὑμῖν ὅ τι ἂν δέησθε;" "οὐδέν, ἔφη ἡ γυνή, δεόμεθα ἡμεῖς. ἐκεῖνοι δὲ λαμβάνουσι καὶ ὁπηνίκ' ἄν τι θηραθῇ καὶ ὀπώραν καὶ λάχανα· οὐ γὰρ ἔστι κῆπος παρ' αὐτοῖς. πέρυσι δὲ παρ' αὐτῶν πυροὺς ἐλάβομεν, σπέρμα ψιλόν, καὶ ἀπέδομεν αὐτοῖς εὐθὺς τοῦ θέρους." "τί οὖν, ἔφην· καὶ ταύτην διανοεῖσθε διδόναι πλουσίῳ, ἵνα ὑμῖν καὶ αὐτὴ πυροὺς δανείσῃ;" ἐνταῦθα μέντοι ἄμφω ἠρυθριασάτην, ἥ τε κόρη καὶ τὸ μειράκιον. ὁ δὲ πατὴρ αὐτῆς ἔφη "πένητα ἄνδρα λήψεται, ὅμοιον ἡμῖν κυνηγέτην" καὶ μειδιάσας ἔβλεψεν εἰς τὸν νεανίσκον. κἀγώ "τί οὖν οὐκ ἤδη δίδοτε; ἢ δεῖ ποθεν αὐτὸν ἐκ κώμης ἀφικέσθαι;" "δοκῶ μέν, ἔφη, οὐ μακράν ἐστιν· ἀλλ' ἔνδον ἐνθάδε. καὶ ποιήσομέν γε τοὺς γάμους ἡμέραν ἀγαθὴν ἐπιλεξάμενοι." κἀγώ "πῶς, ἔφην, κρίνετε τὴν ἀγαθὴν ἡμέραν;" καὶ ὅς "ὅταν μὴ μικρὰ ᾖ ἡ σελήνη· δεῖ δὲ καὶ τὸν ἀέρα εἶναι καθαρόν, αἰθρίαν λαμπράν." κἀγώ "τί δέ, ἔφην, τῷ ὄντι κυνηγέτης ἀγαθός ἐστιν;" "ἔγωγε, ἦ δ' ὃς ὁ νεανίσκος, καὶ ἔλαφον καὶ σῦν ὑφίσταμαι. ὄψῃ δὲ αὔριον, ἂν ἐθέλῃς, ὦ ξένε." "καὶ τὸν λαγὼν τοῦτον σύ, ἔφην, ἔλαβες;" "ἐγώ, ἔφη γελάσας, τῷ δικτύῳ τῆς νυκτός· ἦν γὰρ αἰθρία πάνυ καλή, καὶ ἡ σελήνη τηλικαύτη τὸ μέγεθος ἡλίκη οὐδεπώποτε ἐγένετο." ἐνταῦθα μέντοι ἐγέλασαν ἀμφότεροι, οὐ μόνον ὁ τῆς κόρης πατήρ, ἀλλὰ καὶ ὁ ἐκείνου. ὁ δὲ ᾐσχύνθη καὶ ἐσιώπησε. λέγει οὖν ὁ τῆς κόρης πατήρ "ἐγὼ μέν, ἔφη, ὦ παῖ, οὐδὲν ὑπερβάλλομαι. ὁ δὲ πατήρ σου περιμένει, ἔστ' ἂν ἱερεῖον πρίηται. δεῖ γὰρ θῦσαι τοῖς θεοῖς." εἶπεν οὖν ὁ νεώτερος ἀδελφὸς τῆς κόρης "ἀλλὰ ἱερεῖόν γε πάλαι οὗτος παρεσκεύακε, καὶ ἔστιν ἔνδον, τρεφόμενον ὄπισθεν τῆς σκηνῆς, γενναῖον." ἠρώτων

οὖν αὐτόν "ἀληθῶς;" ὁ δὲ ἔφη. "καὶ πόθεν σοι;" ἔφασαν. "ὅτε τὴν ὗν ἐλάβομεν τὴν τὰ τέκνα ἔχουσαν, τὰ μὲν ἄλλα διέδρα· καὶ ἦν, ἔφη, θάττω τοῦ λαγώ· ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον, καὶ ἁλόντι τὸ δέρμα ἐπέβαλον· τοῦτο ἠλλαξάμην ἐν τῇ κώμῃ, καὶ ἔλαβον ἀντ' αὐτοῦ χοῖρον, καὶ ἔθρεψα ποιήσας ὄπισθεν συφεόν." "ταῦτ' ἄρ', ἔφη, ἡ μήτηρ σοῦ ἐγέλα, ὁπότε θαυμάζοιμι ἀκούων γρυλλιζούσης τῆς συός, καὶ τὰς κριθὰς οὕτως ἀνήλισκες." "αἱ γὰρ εὐβοΐδες, εἶπεν, οὐχ ἱκαναὶ ἦσαν πιᾶναι. ἀλλὰ εἰ βούλεσθε ἰδεῖν αὐτήν, ἄξω ἀνύσας." οἱ δὲ ἐκέλευον. ἀπῄεσαν οὖν ἐκεῖνός τε καὶ οἱ παῖδες αὐτόθεν δρόμῳ χαίροντες. ἐν δὲ τούτῳ ἡ παρθένος ἀναστᾶσα ἐξ ἑτέρας σκηνῆς ἐκόμισεν οὖα τετμημένα, καὶ μέσπιλα, καὶ μῆλα χειμερινά, καὶ τῆς γενναίας σταφυλῆς βότρυς σφριγῶντας, καὶ ἔθηκεν ἐπὶ τὴν τράπεζαν, καταψήσασα φύλλοις ἀπὸ τῶν κρεῶν, καὶ ὑποβαλοῦσα καθαρὰν πτερίδα. ἧκον δὲ καὶ οἱ παῖδες τὴν ὗν ἄγοντες μετὰ γέλωτος καὶ παιδιᾶς. συνηκολούθει δὲ ἡ μήτηρ τοῦ νεανίσκου, καὶ ἀδελφοὶ δύο παιδάρια· ἔφερον δὲ ἄρτους τε καθαρούς, καὶ ᾠὰ ἑφθὰ ἐν ξυλίνοις πίναξι, καὶ ἐρεβίνθους φρυκτούς. ἀσπασαμένη δὲ τὸν ἀδελφὸν ἡ γυνὴ καὶ τὴν ἀδελφιδῆν, ἐκαθίζετο παρὰ τῷ αὑτῆς ἀνδρί, καὶ εἶπεν, "ἰδοὺ τὸ ἱερεῖον, ὃ οὗτος πάλαι ἔτρεφεν εἰς τοὺς γάμους, καὶ τἆλλα τὰ παρ' ἡμῶν ἕτοιμά ἐστι, καὶ ἄλφιτα καὶ ἄλευρα πεποίηται· μόνον ἴσως οἰναρίου προσδεησόμεθα· καὶ τοῦτο οὐ χαλεπὸν ἐκ τῆς κώμης λαβεῖν." παρειστήκει δὲ αὐτῇ πλησίον ὁ υἱὸς πρὸς τὸν κηδεστὴν ἀποβλέπων. καὶ ὃς μειδιάσας εἶπεν "οὗτος, ἔφη, ἐστὶν ὁ ἐπέχων· ἴσως γὰρ ἔτι βούλεται πιᾶναι τὴν ὗν." καὶ τὸ μειράκιον "αὕτη μέν, εἶπεν, ὑπὸ τοῦ λίπους διαρραγήσεται." κἀγὼ βουλόμενος αὐτῷ βοηθῆσαι "ὅρα, ἔφην, μὴ ἐν ᾧ πιαίνεται ἡ ὗς οὗτος ὑμῖν λεπτὸς

γένηται." ἡ δὲ μήτηρ "ἀληθῆ, εἶπεν, ὁ ξένος λέγει, ἐπεὶ καὶ νῦν λεπτότερος αὐτοῦ γέγονε· καὶ πρῴην ᾐσθόμην τῆς νυκτὸς αὐτὸν ἐγρηγορότα καὶ προελθόντα ἔξω τῆς σκηνῆς." "οἱ κύνες, ἔφη, ὑλάκτουν, καὶ ἐξῆλθον ὀψόμενος." "οὐ σύ γε, εἶπεν, ἀλλὰ περιεπάτεις ἀλύων. μὴ οὖν πλείω χρόνον ἐῶμεν ἀνιᾶσθαι αὐτόν." καὶ περιβαλοῦσα τὰς χεῖρας ἐφίλησε τὴν μητέρα τῆς κόρης. ἡ δὲ πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς "ποιῶμεν, εἶπεν, ὡς θέλουσι." καὶ ἔδοξε ταῦτα, καὶ εἶπον "εἰς τρίτην ποιῶμεν τοὺς γάμους." παρεκάλουν δὲ κἀμὲ προσμεῖναι τὴν ἡμέραν. κἀγὼ προσέμενον οὐκ ἀηδῶς.

APPENDIX

I. ΤΡΑΠΕΖΙΤΗΣ

ὁ Πασίων τραπεζίτης ἐστὶν ἐν Συρακούσαις· ἔχει δὲ τὴν τράπεζαν ἐν τῇ ἀγορᾷ. δανείζει δ' ὁ τραπεζίτης ἐπὶ τόκῳ· οἱ γὰρ δανειζόμενοι λαμβάνουσι μὲν τὰ χρήματα, ἀποδιδόασι δὲ καὶ τὰ χρήματα καὶ τόκον· ὁ δὲ τόκος οὕτω γίγνεται. ἢ γὰρ ἀποδιδόασιν ὁποσονδήποτε τοῦ μηνός, ἢ ὁποσονοῦν τοῦ πλοῦ. ἀριθμοῦσι δὲ κατὰ μνᾶν καὶ κατὰ μῆνα οὕτω πως·

ἐπὶ ὀβολῷ· ὁ τόκος γίγνεται εἷς ὀβολὸς τῆς μνᾶς τοῦ μηνός, δώδεκα ὄντες ὀβολοὶ τοῦ ἐνιαυτοῦ· καὶ οἱ δώδεκα ὀβολοὶ δύο δραχμαί, ἡ δὲ μνᾶ ἔχει δραχμὰς ἑκατόν.

ἐπὶ δυοῖν ὀβολοῖν· ὁ τόκος γίγνεται δύο ὀβολοὶ τῆς μνᾶς τοῦ μηνός, οὗτοι δ' εἰσὶν εἴκοσι τέτταρες τοῦ ἐνιαυτοῦ, ὄντες τέτταρες δραχμαὶ τῶν ἑκατὸν δραχμῶν τοῦ ἐνιαυτοῦ.

καὶ οὕτω κατὰ λόγον· ἐπὶ τρισὶν ὀβολοῖς, ἐπὶ τέτταρσιν, ἐπὶ πέντε, ἐπὶ δραχμῇ.

2

ΠΑΣΙΩΝ ΖΗΝΟΘΕΜΙΣ ΗΓΕΣΤΡΑΤΟΣ

Ζ. *χαῖρε, ὦ Πασίων.*

Π. *χαῖρε καὶ σύ, ὦ ἄριστε· σὺ δὲ τίς εἶ, καὶ τί δεῖ σοι;*

Ζ. *Ζηνόθεμις μὲν ἔγωγε, ἀνὴρ Ἀθηναῖος· πλέω δ' Ἀθήναζε, ἐπιβάτης ὢν ἐπὶ τῆς νεὼς τοῦ Ἡγεστράτου. καὶ δεῖ μοι δανείζεσθαι πεντακοσίας δραχμάς.*

Π. *ἔχω τοι τἀργύριον, καὶ δανείζω ἐπὶ πέντε ὀβολοῖς· ἀλλὰ τίς ἐγγυητής σοι;*

Ζ. *ὅστις μοι ἐγγυητής; τίς ποτ' ἀνθρώπων; ἀλλ' ἰδού, ὁ ναύκληρος οὑτοσί. δεῦρό μοι, ὦ Ἡγέστρατε.*

Η. *ὅδ' εἰμί· τί ἐθέλεις;*

Π. *ἆρ' ἔχει οὐσίαν οὗτος ὁ Ζηνόθεμις;*

Η. *νὴ τὸν Δία, καὶ πολλήν γε· ἔνεστι γὰρ σῖτος αὐτῷ ἐν τῇ νηῒ πολύς.*

Π. *εὖ γε· πρὸς ταῦτα δανείζω, ὥστε σωθείσης μὲν τῆς νεώς, ἀποδοῦναι μετὰ τοῦ τόκου, ἀπολομένης δέ, μηδέν.*

Ζ. *ὁμολογῶ δὴ ἐπὶ τούτοις· γράφε τὰς συγγραφάς.*

Π. *γράφω.*

ΦΙΛΩΝ ΗΓΕΣΤΡΑΤΟΣ ΖΗΝΟΘΕΜΙΣ

Η. *χαῖρε· ἆρ' ἐστὶ τράπεζα αὕτη;*

Φ. *ἔστι. τίς δ' εἶ σύ, καὶ πόθεν; ἔοικας γὰρ ξένῳ.*

Η. *καὶ δὴ ξένος εἰμί, καὶ ναύκληρος τῆς Ναυκλείας, πλέω δ' Ἀθήναζε, δανειζοίμην δ' ἂν χιλίας δραχμάς, ἐάν μοι δανείσῃς.*

Φ. *ἀλλ' οὐ γάρ σε γιγνώσκω, ὦ ξένε.*

Η. ἀλλ' ἰδού, ἐς καιρὸν ἥκει Ζηνόθεμις οὗτος, ἐπιβάτης ὢν τοῦ πλοίου.

Φ. χαῖρε, ὦ Ζηνόθεμι· τίς οὗτος;

Ζ. ναύκληρος οὗτος τῆς Ναυκλείας, ἔχει δ' ἐν τῇ νηῒ γόμον ἴδιον σίτου.

Φ. δανείζω οὖν σοι τὰς χιλίας δραχμὰς ἐπὶ τέτταρσιν ὀβολοῖς, ἐφ' ᾧτε ἀποδοῦναι μὲν ἐὰν σωθῇ ἡ ναῦς, εἰ δὲ μή, μηδέν.

Η. ἐπὶ τούτοις ὡμολογήσθω· σὺ δὲ γράφε τὰς συγγραφάς.

Φ. γράφω δή.

ΕΞΩ

Η. καλῶς ἐποίησας, ὦ Ζηνόθεμι βέλτιστε, καὶ χάριν οἶδά σοι πολλήν.

Ζ. καὶ ἐγὼ σοί, ὦ Ἡγέστρατε· ὥσπερ γὰρ οἱ τέκτονες, ἐγὼ μὲν ἕλκω τὸν πρίονα, σὺ δ' ἀντενδίδως.

3

ΟΡΝΙΘΕΣ

τίκτουσι πρῶτον ᾠὰ
ὄρνιθες· εἶτ' ἐν ᾠῷ
συμπήγνυται νεοττός.
μεθ' ἡμέρας δὲ συχνὰς
ἕτοιμος ὢν νεοττὸς
αὐτὸς τὸ λέμμα κόπτει,
ἐκ τοὐστράκου δὲ πηδᾷ·
τοῦ λέμματος δ' ἐπ' οὐρᾷ
ἡμίτομον μάλιστα
φέρων, ἔσεισεν εὐθύς.

4

ΠΕΡΔΙΞ ΚΑΙ ΧΕΛΩΝΗ

πέρδικα τῇ χελώνῃ
ἐχθρὰν λέγουσιν εἶναι·
εἰ δ' ἐστὶ τοῦτ' ἀληθές,
οὐ δὴ κάτοιδ' ἔγωγε.
τῇ μὲν γὰρ οὐ πάρεστι
τῷ ῥυγχίῳ τιτρώσκειν
κεκρυμμένην χελώνην
ἐν ὀστράκῳ τοιούτῳ,
ἐάν γε μὴ προκύψῃ·
ὅμως δ' ἐὰν προκύψῃ,
πέρδικι δὴ πάρεστιν
ῥύγχει κάρα τετραίνειν.
πρὸς ταῦτ' ἄμεινόν ἐστι
ἔνδον μένειν χελώνην·
τὰ γὰρ θύραζε βλάπτει.

5

ΜΥΡΜΗΞ

τῶν θηρίων ἁπάντων
σοφώτατον δοκεῖ μοι
μύρμηξ. ἐπεὶ τὸ πρῶτον
οἰκοῦσιν οὐκ ἀκόσμως,
σύμμεικτος ὥς τις ὄχλος·
τεταγμένοι δὲ πάντες
ποιοῦσι τἄργ' ἕκαστος.
οἱ μὲν μένοντες ἔνδον
σῴζουσι πάντα τῳά
καὶ κτήματ' ἄλλ' ἐν οἴκοις·
οἱ δ' αὖ, στράτευμα πιστόν,

ἐχθροῖς καλῶς μάχονται·
οἱ δ' ἐξοδοιποροῦντες
ἑώθινοι κατ' ἀγρούς,
ζητοῦσι τοῖς πολίταις
τροφήν τιν', ὡς ἀνάγκη.
ὥστ' οὐκέτ' ὄχλος εἰσίν,
ἀλλ' ἔσθ' ὅμοια πάντα
πόλει τε καὶ πολίταις.

6

ΜΕΛΙΤΤΑΙ

γένος τὸ τῶν μελιττῶν
ἀργὸν μὲν οὔποτ' ἐστίν,
ἐργάζεται δ' ἐσαιεί.
μί' ἐστὶν ἡ μεγίστη
μήτηρ τε καὶ τύραννος·
ἥτις καθ' ἡμέραν τοι
τρισμύρι' ᾠὰ τίκτει.
πρὸς τῇδ' ἔνεισι σίμβλῳ
ὑπηρέται τε πλεῖστοι,
πονοῦντες οἷ' ἀνάγκη,
κἄλλοι τινὲς πρόσεισιν,
κηφῆνες οἳ καλοῦνται·
οἱ δ' ἐσθίουσι πολλά,
μέλει δ' ἄρ' οὐδὲν ἄλλο.
αἱ δ' ἄσχολοι μέλιτται
ἕωθεν ἐκπέτονται·
καὶ τὴν τροφὴν ἅπασι
βομβοῦσι συλλέγουσαι.
οὐδ' εἰσὶ γαστρίμαργοι·
τὸ μὲν γὰρ ἐσθίουσιν,
πλείω δ' ἔνεστι θήκῃ
χειμὼν ὅταν γένηται.

προμανθάνουσιν ὥραν
κρύους τ᾽ ἐπομβρίας τε·
ὅταν θάνῃ μέλιττα,
ἔξω βαλεῖν ἀνάγκη
ὡς μὴ μύσος γένηται
νεκροῦ μένοντος ἔνδον.
ἐὰν δὲ φὼρ προσέρπῃ
κλέπτουσα τῶν μελιττῶν
μέλι ξένη μέλιττα,
φύλαξ τις ἐκδιώκει
ὡς ἐκβαλοῦσα κλέπτην.
σὺ δ᾽ ἂν θέλοις τίς εἶναι;
κηφήν τις ἀργὸς αἰεί,
ἢ καὶ φύλαξ μέλιττα,
ἢ καὶ τύραννος αὐτὴ
μήτηρ τε τῶν μελιττῶν;

7

ΑΡΑΧΝΗ

τέχνην φύσις δέδωκεν
ἱστουργίας ἀράχνῃ.
νεῖ δ᾽ οὐ στρέφουσ᾽ ἄτρακτον
ἐκ νηδύος τὸ νῆμα
ἄγουσα δημιουργεῖ,
εὐθὺς δ᾽ ὕφασμ᾽ ὑφαίνει
ἀράχνιον ποιοῦσα·
ποιεῖ δὲ τοῦτο μυίαις
καὶ θηρίοις τοιούτοις.
οὔκ ἐστι λεπτὸν οὕτως
οὐδὲν λίνον γυναικῶν
ὥσπερ τὸ τῆς ἀράχνης.
ἁλίσκεται δὲ μυῖα
εἰς τοὺς δόλους πεσοῦσα,

ἀλλ' οὐχ ἁλίσκεται σφήξ,
οὐδ' αὖ μέλιττα· πῶς γάρ;
μείζους γάρ εἰσιν αὗται.

8

ΘΗΡΑ ΙΝΔΙΚΗ

λαγὼς τ' ἀλώπεκάς τε
θηρῶντες ἄνδρες Ἰνδοί,
κυνῶν μὲν οὐ δέονται·
κόραξ γὰρ ἀντὶ τούτων,
ἰκτῖνος ἀντὶ τούτων,
ὅ τ' αἰετὸς πάρεστιν.
συλλαμβάνουσι πρῶτον
τοὺς τῶνδε δὴ νεοττούς·
θηρευτικὴν δὲ τέχνην
ἐκμανθάνειν ποιοῦσι
τούτους τρόπῳ τοιῷδε.
πρᾶον λαγὼν λαβόντες
πρᾶον δ' ἀλώπεκ' ἄλλον,
τούτοις κρέας προσάπτειν
φιλοῦσι, κᾆτ' ἀφεῖναι·
ἕκαστος οὖν νεοττῶν—
ἰκτῖνος αἰετός τε
καὶ δὴ τρίτη κορώνη—
τάχιστα δὴ διώκει.
ἐπειδὰν αὖθ' ἕλωσι,
κρέας κατεσθίουσιν
ὡς μισθὸν ὄντα θήρας.
οὕτω μὲν οὖν μαθόντες
μετ' ἀγρίους πέτονται
λαγώς τ' ἀλώπεκάς τε·
τῶν δ' ὅστις ἄν τιν' αἱρῇ,
τὰ σπλάγχνα μισθὸν ἔσχεν.

9

ΓΡΥΨ

περὶ γρυπὸς ὧδέ φασιν.
τετράπουν λέγουσιν εἶναι,
τὸ δὲ σῶμα τῷ λέοντι
προσεοικέναι μάλιστα·
ὄνυχας δ' ἔχειν μεγίστους
προσεοικότας λέοντος.
τὸ δὲ σῶμα πᾶν πτερωτόν,
μελανόπτερον τὸ νῶτον,
τὰ δ' ὄπισθέ φασ' ἐρυθρόν.
πτέρυγας λέγουσι λευκάς,
στόμα δ' αἰετῶδες εἶναι.
λέγεται δὲ γρὺψ ἅπαντα,
ὅσα θηρί' ἄλλα, νικᾶν,
ἐλέφαντα δ' ἐκφοβεῖσθαι
ἔφοδον δὲ καὶ λέοντος.
λέγεται δὲ κὰν καλιᾷ
κατὰ γῆς χρυσὸν ὀρύττειν,
φυλακὴν δ' ἀεὶ ποιεῖσθαι.
περὶ γρῦπα ταῦτά φασιν.

10

ΚΥΩΝ

κύων δόμον φυλάττει
πάντων μάλιστα πιστός.
ἐὰν πανοῦργος ἔλθῃ
τὰ κτήμαθ' ὥστε κλέψαι,
αὖ αὖ κύων βαΰζει,
δάκνει τε τὸν πανοῦργον·
ἐὰν δὲ τῶν ἐν οἴκῳ

ἔλθῃ τις, εὐθὺς οὗτος
λείχει πόδας χέρας τε,
ἐφάλλεται δὲ σαίνων.
τί δῆτ᾽ ἄμεινον ἄν μοι
πιστοῦ κυνὸς γένοιτο;

11

ΨΙΤΤΑΚΟΣ

ὄρνιθ᾽ ἔχω κατ᾽ οἶκον
ὃς ψιττακὸς καλεῖται.
οἰκίσκος ἐστὶν αὐτῷ
ὃν ἄσμενος κατοικεῖ.
θαυμαστός ἐστιν ὄρνις
καὶ ποικίλος τὸ χρῶμα·
καὶ θαῦμα δὴ μέγιστον·
ὅταν γὰρ οἴκαδ᾽ ἔλθω,
"ἄριστε, φησί, χαῖρε."
ὅταν μόλω θύραζε,
"ὦ χαῖρε, φήσ᾽, ἄριστε."
καὶ δίψ᾽ ὅταν πιέζῃ,
ὕδωρ φέρειν κελεύει·
πείνῃ δ᾽ ὅταν πιεσθῇ,
σῖτον φέρειν κελεύει,
δάκνει δὲ δάκτυλόν μοι,
ἂν μὴ φέρω τὰ πάντα.

12

ΠΛΟΥΣ

προσέρπομεν θάλατταν,
καθέλκομεν δὲ πλοῖον·
κώπαις δὲ χρώμεθ᾽ οὐδέν,
ἀλλ᾽ ἱστίοις ἅπασιν,

ὡς οὐρίου πνέοντος.
θύελλα δ' ἢν ἐπέλθῃ
αἴρουσα κῦμα λαβρόν,
φοβούμεθ' εὐθὺς ἡμεῖς
μὴ κἀν βυθῷ πνιγῶμεν·
καθίεμεν δὲ λαίφη,
ἐλαύνομεν δὲ κώπαις.
ἡ ναῦς δ' ἐάν γε σωθῇ
πλεύσασιν οἴκαδ' ἡμῖν,
θεοῖσιν εὐξόμεσθα,[1]
προσθέντες ὅρκον, ἦ μὴν
ἐν γῇ μενεῖν τὸ λοιπόν,
καὶ πολλὰ δὴ κελεύσειν
χαίρειν ἀεὶ θάλατταν.

13

ΤΑ ΤΗΣ ΗΜΕΡΑΣ

ἀνίσταμαι πρὸς ὄρθρον
πρὶν ἥλιον φανῆναι,
καὶ λούομαι τὸ σῶμα
ὕδωρ χέων κατ' αὐτοῦ.
κοσμῶ δὲ τὴν κόμην εὖ,
ὄδοντας εὖ καθαίρω.
ἐνδύομαι χιτῶνα
πέδιλά τ' ἢ κοθόρνους,
κᾆτ' εὔχομαι θεοῖσιν,
κᾆτ' ἐντραγὼν πιών τε,
πορεύομαι κατ' ἔργον.
μεσημβρίας δ' ἀνελθὼν
ἄριστον ἐσθίω 'γώ,
ἴσως δὲ καὶ καθεύδω·
μεθ' ὕπνον αὖτ' ἀναστὰς

[1] = εὐξόμεθα.

πορεύομαι κατ' ἔργον.
πρὸς ἑσπέραν δ' ἀνελθὼν
ἐς δεῖπνον αὖ κάθημαι.
ὅταν δ' ἐπισκοτάζῃ,
κοιμώμενος καθεύδω.

14

ΑΡΟΤΟΣ

ἀροτὴρ λαβὼν ἄροτρον
τὸ βοῶν ζεῦγος ἐλαύνει
κατέχων χεροῖν ἐχέτλην.
ὅταν ἐς τὸ τέλσον ἔλθῃ,
τό τε τέρμα τῆς ἀρούρας,
θεράπων μένει τις ἄλλος
κύλικ' ἐν χεροῖν προτείνων,
παραμύθιον πονοῦντι·
ὁ δὲ δὴ λαβὼν πιών τε
στρέφεται πάλιν κατ' ὄγμους.

15

ΣΠΟΡΕΥΣ ΚΑΙ ΘΕΡΙΣΤΗΣ

ὁ δ' αὖ σπορεὺς μετελθών,
τὰ σπέρματα σκεδαννὺς
σπείρει μολὼν κατ' ὄγμους,
ἐνταῦθα μὲν τὰ πυρῶν,
ἐκεῖ δὲ καὶ τὰ κριθῶν.
μετὰ σπόρον δὲ πάντα
ἐκφύεται κατ' ἀγρούς,
ἔστ' ἂν στάχυς γένηται
ὡραῖος, ὡς θερίζειν·
θέρος δ' ἕτοιμον ἤδη.
εἶτ' ἔρχεται θεριστὴς

θέρος τεμῶν ἕτοιμον.
δέουσι δράγματ' εὐθύς·
πρὸς τὰς ἅλως φέρουσιν·
ἔπειτα κἀλοῶσι
βόες ποσὶν πατοῦντες.

16

ΑΛΟΗΤΟΣ

ἀλοητός ἐστιν ἤδη.
ἐν ἅλῳ δράγματα κεῖται.
περὶ δῖνον αὖ στρέφονται
βόες, οὐδὲ τῶν βοῶν τις
ἀπογεύεται λεληθὼς
σταχύων, ἐν ᾧ στρέφονται.
τίνα δ' αἰτίαν λέγοιμ' ἄν;
κατέχοντα φιμὸν ἴσθι
στόμαθ', ὥστε μὴ δύνασθαι
ἀλοῶντας ἐντραγεῖν τι.
ἄγετ' ὦ βόες, στρέφεσθε
περὶ δῖνον· οὐ θέμις γὰρ
πάρος ἐντραγεῖν τροφῆς τι
πρὶν ἂν ἑσπέρα γένηται.

17

ΕΚΚΛΗΣΙΑ

τῆς κυρίας παρούσης
ἐκκλησιάζεται μὲν
ὃς ἂν θέλῃ πολίτης·
ἔξεστι πάντ' ἀκούειν

τῶν ῥητόρων λεγόντων,
ἔξεστι κἀναβῆναι
ἅπασι τοῖς πολίταις
λέγειν θ᾽ ὅσ᾽ ἂν θέλωσιν.
ὅταν δὲ πᾶς τις εἴπῃ
ὃς ἂν θέλῃ λέγειν τι,
ψῆφον φέρουσι πάντες·
γνώμην δέ φασι νικᾶν
τὴν πλείοσιν δοκοῦσαν.

18

ΣΤΡΑΤΟΣ

ὅταν στρατὸς γένηται,
ἕκαστος ἐξ ἀνάγκης
στρατεύεται πολίτης.
φέρουσι δ᾽ ἄλλος ἄλλα.
πρῶτον χρεὼν ὁπλίτην
λέγειν, ὅποιός ἐστιν.
θώραξ μὲν οὖν τὸ πρῶτον
τὰ στέρν᾽ ἔχει καλύψας·
χαλκοῦς δέ γ᾽ ἐσθ᾽ ὁ θώραξ.
κράνος κάρα στεγάζει,
περὶ σκελοῖν δὲ κνημίς.
ξίφος μὲν ὀξύθηκτον
ἡ δεξιὰ προτείνει·
ἀριστερὰ δὲ χαλκῆν
φορεῖ τιν᾽ ἀσπίδ᾽ αἰεί.
ὁ ψιλὸς εὐσταλὴς ὢν
γυμνός τ᾽ ἔχει τάδ᾽ ὅπλα·
ἀντ᾽ ἀσπίδος τε πέλτην,
καὶ ζεῦγος ἄλλ᾽ ἀκόντων.

ἄλλος τις αὖτ᾽ ὀχεῖται
ἵππῳ, στρέφων χαλινόν·
ἱππέα καλοῦμεν αὐτόν.
ἄγει δὲ τὸ στράτευμα
ἐπιστάτης στρατηγός.

"A bold, intelligent, ingenious piece of work, thoroughly Greek"

A FIRST GREEK COURSE

INTRODUCING BEGINNERS TO GREEK AUTHORS IN THEIR FIRST YEAR

BY

W. H. D. ROUSE, LITT.D.

Head-master of the Perse Grammar School, Cambridge
General Editor Blackie's Latin Texts, &c. &c.

Price 2s. 6d. net

THIS course is meant primarily for pupils of 14 or 15, beginning Greek after some years' training in French and Latin. Used in this way the book can be worked through in the first two terms of the school year, and in the last term an easy author may be begun, the grammar being revised along with the author. Begun at an earlier age the course will of course take longer, but the same advantages will accrue from the methods it employs.

The *viva voce* method is employed throughout, and a number of conversation lessons are given in full. These are meant as specimens only, for it is of the essence of the oral method that it be fresh and spontaneous; where a complete conversation lesson is not given, suggestions are supplied for the teacher's guidance. Side by side with conversation, both construing and writing are assigned equally important parts in the scheme of the course.

The arrangement of the matter has been guided by expediency, the forms which are most wanted being placed first. Once learnt, the matter can easily be revised in a scientific order by aid of the Compendium placed at the end. There are one or two novelties, such as beginning the declensions with the adjective (easily learnt from its likeness to *bonus*), and so teaching the main forms of two declensions at once.

The reading extracts are all taken from Greek authors, with, occasionally, a certain amount of compression and alteration.

Each lesson is accompanied by an exercise.

LONDON

BLACKIE & SON, LIMITED, 50 OLD BAILEY, E.C.

GLASGOW DUBLIN BOMBAY